Acta Joannis (Greek)

Acts of John (2nd–3rd century)

SermonIndex.net / Church Fathers

Authorship. An apocryphal book of the second or third century; it is not by John and is not a reliable history.

Sections 1 to 36

Πράξεις τοῦ ἁγίου ἀσποστόλου καὶ εὐαγγελιστοῖ Ἰωάννου τοῦ θεολόγου

1 Βασιλεύοντος τῶν Ἰουδαίων Ἀγρίππα, ὃν διὰ τὸ συμβουλεύειν εἰρήνην λιθοβολήσαντες ἀπέκτειναν, ἐν τῷ καιρῷ ἐκείνῳ Οὐεσπεσιανὸς Καῖσαρ ὑπάρχων πολλῷ στρατεύματι περιχαρακώσας τὴν Ἱερουσαλὴμ τοὺς μὲν δορυαλώτους λαβὼν ἐφόνευσεν, ἄλλους πολιορκήσας λιμῷ διέφθειρεν, καὶ τοὺς πλείστους φυγαδεύσας χρόνῳ διέσπειρεν· τό τε ἱερὸν καθελὼν καὶ τὰ σκεύη τὰ ἅγια εἰς ναῦν ἐμβαλὼν ἔπεμψεν εἰς Ῥώμην ποιήσασθαι τῆς Εἰρήνης σκήνωμα, καὶ τοῖς ἐκ πολέμου σκύλοις ἐκοσμεῖτο.

2 Οὐεσπεσιανοῦ δὲ ἀποθανόντος ἐγκρατὴς γενόμενος ὁ νἱὸς αὐτοῦ Δομετιανὸς τῆς βασιλείας μετὰ τῶν ἄλλων ἀδικημάτων αὐτοῦ προσέθετο καὶ διωγμὸν ποιεῖν κατὰ τῶν δικαίων ἀνθρώπων. μαθὼν γὰρ τὴν πόλιν πεπληρῶσθαι Ἰουδαίων, μεμνημένος τῶν ὑπὸ τοῦ πατρὸς αὐτοῦ περὶ αὐτῶν κελευσθέντων, ὥρμησεν ἐπὶ τὸ πάντας ἐκβαλεῖν ἐκ τῆς τῶν Ῥωμαίων πόλεως. τολμήσαντες δέ τινες τῶν Ἰουδαίων ἔθωκαν τῷ Δομετιανῷ βίβλον ἐν ᾧ ἐγέγραπτο τάδε·

3 Δομετιανὲ Καῖσαρ βασιλεῦ πάσης τῆς οἰκουμένης, ὅσοι Ἰουδαῖοι σοῦ δεόμεθα καὶ ἱκέται προσκείμεθα τῆς σῆς δυνάμεως μὴ φυγαδεύειν ἡμᾶς ἀπὸ τοῦ θείου καὶ φιλανθρώπου σου προσώπου· εἴκομεν γάρ σοι, καὶ τοῖς ἔθεσι καὶ τοῖς νόμοις καὶ πράξεσιν καὶ πολιτείαις μηδὲν ἀδικοῦντες ἀλλὰ Ῥωμαίοις ὁμοφρονοῦντες. ἔστιν δὲ καινὸν καὶ ξένον ἔθνος, μήτε τοῖς ὑμετέροις ἔθεσι ὑπακοῦον μήτε ταῖς Ἰουδαίων θρησκείαις συνευδοκοῦν, ἀπερίτμητον, ἀπάνθρωπον, ἄνομον, ὅλους οἴκους ἀνατρέπον, ἄνθρωπον θεὸν καταγγέλλοντες, οἷς ἐκκλσία ὅπασιν ἐπιγίνεται ξένον ὄενομα χριστιανῶν. οὗτοι θεὸν ἀθετοῖσιν μὴ προσέχοντες τῷ ὑπ’ αὐτοῦ δοθέντι νόμῳ, υἱὸν δὲ θεοῦ καταγγέλλουσιν ἄνθρωπον ἐξ ἡμῶν αὐτῶν γεννηθέντα ὀνόματι Ἰησοῦν, οὗ οἱ γονεῖς καὶ οἱ ἀθελφοὶ καὶ πᾶσα ἡ γενεὰ ἐξ Ἑβραίων ἐξήρτηται· ὃν διὰ τὴν πολλὴν αὐτοῦ βλασφημίαν καὶ τὴν ἄνομον φλυαρίαν ἡμεῖς σταυρῷ παρεδώκαμεν. ψεῦσμά τε ἕτερον τῷ πρώτῳ αὐτῶν βλάσφημον συνάπτουσιν· τὸν γὰρ παγέντα καὶ ταφέντα τοῦτον ὡς ἐκ νεκρῶν ἀναστάντα δοξολογοῦσιν· πρὸς τούτοις καὶ ἀναληφθέντα ἐν νεφέλαις ἐν τοῖς οὐρανοῖς καταψεύδονται.

4 Ἐπὶ τούτοις πᾶσιν ὀργῇ συσχεθεὶς ὁ βασιλεὺς θόγμα τῇ συγκλήτῳ ἐκελεύσατο ἵνα ἄρδην τοὺς ὁμολογοῦντας αὐτοὺς εἶναι χριστιανοὺς φονεύσωσιν. τῶν οὖν παραυτὰ τῆς ὀργῆς εὑρεθέντων καὶ τὸν τῆς ὑπομονῆς καρπὸν τρυγησάντων στεψαμένων τε τὸν πάμμαχον ἀγῶνα κατὰ τῶν τοῦ διαβόλου πραγμάτων προσελάβετο ἡ τῆς ἀφθαρσίας ἀνάψυξις.

5 Διεφημίσθη τε ἐν τῇ Ῥώμῃ ἡ τοῦ Ἰωάννου διδασκαλία καὶ μέχρι τῶν Δομετιανοῦ ἀκοῶν, εἶναί τινα ἐν Ἐφέσῳ Ἑβραῖον ὀνόματι Ἰωάννην, ὃς περὶ τοῦ Ῥωμαίων βασιλείου διαφημίζει λέγων ἐν τάχει ἐκριζωθήσεσθαι, καὶ ἑτέρῳ τὴν βασιλείαν τῶν Ῥωμαίων διαδεδόσθαι. ταραχθεὶς δὲ ὁ Δομετιανὸς ἐπὶ τοῖς δἰρημένοις ἔπεμψεν ἑκατόνταρχον μετὰ στρατιωτῶν ἵνα ἁρπάσαντες ἀγάγωσιν τὸν Ἰωάννην. καὶ ἐλθόντες εἰς τὴν Ἔφεσον ἐπυνθάνοντο ποῦ μένει ὁ Ἰωάννης. προσελθόντες δὲ τῷ πυλῶνι αὐτοῦ εὗρον αὐτὸν ἑστῶτα πρὸ τῶν θυρῶν, καὶ νομίσαντες αὐτὸν εἶναι θυρωρὸν ἐξήταζον ποῦ μένει ὁ Ἰωάννης. ὃ δὲ ἀποκριθεὶς εἶπεν· Ἐγώ εἰμι. Οἳ δὲ τὸ μέτριον αὐτοῦ καὶ ταπεινὸν καὶ πενιχρὸν ὑπερηφανήσαντες ἐπέπλησσον μετὰ ἀπειλῆς λέγοντες· Εἰπὲ ἡμῖν τὴν ἀλήθειαν. Ὁμολογοῦντος δὲ αὐτοῦ πάλιν αὐτὸν εἶναι τὸν ζητούμενον, ἀλλὰ καὶ τῶν μαρτυρούντων, ἔφησαν αὐτὸν ἐν τάχει ἐξιέναι σὺν αὐτοῖς πρὸς τὸν βασλέα ἐν Ῥώμῃ. τοῦ δὲ παρακαλέσαντος αὐτοὺς λαβεῖν ἐφόδια, ἐπιστρέψας καὶ λαβὼν φοίνικας ὀλίγους ἐξῆλθεν εὐθέως.

6 Καὶ λαβόντες οἱ στρατιῶται δημόσια ὀχήματα ἐν τάχει ὥδενον, μέσον αὐτὸν καθίσαντες. ἐλθόντων οὖν αὐτῶν εἰς τὴν πρώτην ἀλλαγήν, ὥρας ἀρίστου οὔσης, ἐδέοντο αὐτοῦ εὐψυχεῖν καὶ λαβόντα ἄρτον σὺν αὐτοῖς ἐσθίειν. ὁ δὲ Ἰωάννης ἔφη· Τῇ μὲν ψυχῇ χαίρω, τροφῆς δὲ τέως οὐ βούλομαι λαβεῖν. Οἳ δὲ ἐλαύνοντες ἐφέροντο ταχέως. ὀψίας δὲ γενομένης καταχθέντες εἴς τι πανδοχεῖον, καὶ τῆς ὥρας οὔσης λοιπὸν δείπνου, ὄντες φιλοφρονέστατοι ὁ ἑκατόνταρχος καὶ οἱ στρατιῶται παρεκάλουν τὸν Ἰωάννην χρήσασθαι τοῖς παρακειμένοις. ὃ δὲ ἔφη κεκοπῶσθαι καὶ θεῖσθαι ὑπὲρ πᾶσαν τροφὴν τοῦ ὕπνου. καὶ τοῦτο ἑκάστης ἡμέρας αὐτοῦ ποιοῦντος ἐξεπλήσσοντο πάντες οἱ στρατιῶται καὶ ἐδειλίων μὴ ὁ Ἰωάννης ἀποθανὼν κινδύνῳ αὐτοὺς περιβάλῃ· τὸ δὲ ἅγιον πνεῦμα φαιθρότερον αὐτὸν ἐδείκνυ αὐτοῖς. καὶ τῇ ἑβδόμῃ ἡμέρᾳ κυριακῆς οὔσης ἔφη αὐτοῖς· Νῦν καιρὸς τοῦ κἀμὲ χρήσασθαι τροφῆς. Νιψάμενός τε τὰς χεῖρας καὶ τὸ πρόσωπον προσευξάμενος προεκόμιζεν τὸ λέντιον καὶ λαβὼν ἕνα τῶν φοινίκων ἤσθιεν πάντων ὁρώντων.

7 Πολλοῦ οὖν χρόνου διιππεύσαντος ἔφθασαν τὴν ὁδόν, τοῦ Ἰωάννου οὕτως νηστεύοντος. προσαγαγόντες δὲ αὐτὸν τῷ βασιλεῖ εἶπον· Σεβαστὲ βασλεῦ, Ἰωάννην σοι προσάγομεν, θεὸν οὐκ ἄνθρωπον· ἐξ ἧς γὰρ αὐτὸν συνελάβομεν ἄχρι τῆς ἄρτι ὥρας ἄρτου οὐκ ἐγεύσατο. Πρὸς τούτοις ἐκπλαγεὶς ὁ Δομετιανὸς ἐξέτεινεν τὸ στόμα, διὰ τὸ παράδοξον φιλήματι αὐτὸν προσαγορεῦσαι θελήσας· τοῦ δὲ Ἰωάννου ἀποκλίναντος τὴν κεφαλὴν κατεφίλησεν αὐτοῦ τὸ στῆθος. καὶ εἶπεν ὁ Δομετιανός· Τί τοῦτο ἐποίησας; οὐκ ἠξίωσάς με φιλῆσαί σε; Καὶ ὁ Ἰωάννης πρὸς αὐτὸν εἶπεν· Δίκαιον τὴν χεῖρα τοῦ θεοῦ ἐν πρώτοις προσκυνεῖν, καὶ οὕτως

τὸ στόμα τοῦ βασιλέως καταφιλεῖν· γέγραπται γὰρ ἐν ταῖς ἱεραῖς βίβλοις· Καρδία βασιλέως ἐν χειρὶ θεοῦ.

8 Καὶ ὁ βασιλεὺς εἶπεν αὐτῷ· Σὺ εἶ Ἰωάννης ὁ τὴν βασιλείαν μου λέγων ἐν τάχει ἐκριζωθήσεσθαι καὶ μέλλειν ἕτερον βασιλεύειν ἀντ’ ἐμοῦ, Ἰησοῦν; Ἀποκριθεὶς δὲ ὁ Ἰωάννης εἶπεν αὐτῷ· Σὺ καὶ βασιλεύσῃ πολλοῖς χρόνοις τοῖς ὑπὸ θεοῦ σοι δεδομένοις, καὶ μετὰ σὲ ἕτεροι πλεῖστοι· πληρωθέντων δὲ τῶν ἐπὶ γῆς χρόνων ἐξ οὐρανοῦ ἐλεύσεται βασιλεὺς αἰώνιος, ἀληθής, κριτὴς ζώντων καὶ νεκρῶν, πᾶν ἔθνος καὶ φυλαὶ ἐξομολογήσετα, δι’ ὃν πᾶσα ἐξουσία καὶ ἀρχὴ ἐπίγειος καταργηθήσεται καὶ πᾶν στόμα λαλοῦν μεγάλα φραγήσεται. οὗτος δὲ ἐστιν ὁ κύριος ὁ δυνατὸς καὶ βασιλεὺς πάσης πνοῆς καὶ σαρκός, ὁ λόγος καὶ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὅς ἐστιν Ἰησοῦς Χριστός.

9 Πρὸς ταῦτα ἔφη αὐτῷ ὁ Δομετιανός· Τίς τούτων ἀπόδειξις; ῥήμασιν μόνοις οὐ πείθομαι· ὄψις ἀδόλων τὰ φθεγγόμενα. τί δύνῃ θεῖξαι ἐπίγειον ἢ ἐπουράνιον ἐν τῇ δυνάμει ἐκείνου τοῦ μέλλοντος βασιλεύειν καθὼς καὶ λέγεις; ποιήσει γάρ, εἴπερ ἐστὶν υἱὸς θεοῦ. Εὐθέως δὲ ὁ Ἰωάννης ᾔτησεν φάρμακον θανάσιμον. κελεύσαντος δὲ τοῦ βασιλέως δοθῆναι φάρμακον αὐθωρὸν προσεκόμισαν. λαβὼν οὖν ὁ Ἰωάννης καὶ βαλὼν ἐν κύλικι μεγάλῳ πληρώσας ὕδατος συνεκέρασεν, καὶ ἀναβοήσας φωνῇ μεγάλῃ εἶπεν· Ἐν τῷ ὀνόματί σου Ἰησοῦ Χριστὲ υἱὲ τοῦ θεοῦ πίνω τὸ ποτήριον σὺ γλυκανεῖς, καὶ τὸ ἐν αὐτῷ φάρμακον τῷ ἁγίῳ σου πνεύματι συγκέρασον καὶ ποίησον αὐτὸ πόμα ζωῆς καὶ σωτηρίας γενέσθαι εἰς ἴασιν ψυχῆς καὶ σώματος, εἰς πέψιν, εἰς ἀβλαβῆ διοίκησιν, εἰς πίστιν ἀμετανόητον, εἰς ἀνεξάρνητον μαρτύριον τοῦ θανάτου ὡς ποτήριον εὐχαριστίας.

10 Ἐκπιόντος οὖν αὐτοῦ τὸν κύλικα περιέμενον οἱ παρεστῶτες τῷ Δομετιανῷ πότε μέλλει σπασθεὶς καταπίπτειν ἐπὶ τῆς γῆς. τοῦ δὲ Ἰωάννου ἱλαροῦ ἑστῶτος καὶ σῴου προσομιλοῦντος ὠργίσθη ὁ Δομετιανὸς πρὸς τοὺς δόντας τὸ φάρμακον ὡς φεισαμένων τοῦ Ἰωάννου· οἱ δὲ ἐπομοσάμενοι τὴν τύχην καὶ σωτηρίαν τοῦ βασιλέως ἔλεγον ἄλλο μὴ εἶναι δυναταώτερον τούτου τοῦ φαρμάκου. συνεὶς δὲ ὁ Ἰωάννης τί πρὸς ἀλλήλους ψιθυρίζουσιν ἔφη πρὸς τὸν βασιλέα· Μὴ χαλέπαινε βασιλεῦ, ἀλλὰ ὃ λέγω κέλευσον γενέσθαι, καὶ μαθήσῃ τὴν δύναμιν τοῦ φαρμάκου· κατάκριτόν τινα ἐκ τῆς εἱρκτῆς ποίησον ἀχθῆναι. Οὗ παραγενομένου ὁ Ἰωάννης ἐπιβαλὼν ὕδωρ τῷ ποτηρίῳ καὶ περικλύσας μετὰ πάσης τῆς ὑποστάθμης ἐπέδωκεν τῷ κατακρίτῳ. ὃ δὲ λαβὼν καὶ πιὼν παραχρῆμα ἔπεσεν καὶ ἐτελεύτησεν.

11 Θαυμασάντων δὲ πάντων ἐπὶ τοῖς γενομένοις σημείοις καὶ τοῦ Δομετιανοῦ τῷ φόβῳ συσχεθέντος καὶ ἀπερχομένου εἰς τὸ παλάτιον, ἔφη πρὸς αὐτὸν ὁ Ἰωάννης· Ῥωμαίων βασιλεῦ Δομετιανέ, τοῦτο ἠβουλήθης ἵνα σοῦ παρόντος καὶ μαρτυροῦντος ἐγὼ σήμερον φονεὺς γένωμαι; περὶ τοῦ κειμένου νεκροῦ τί μέλλει γενέσθαι; Ὁ δὲ ἐκέλευσεν ἀρθέντα αὐτὸν ῥιφῆναι. Ἰωάννης δὲ προσελθὼν τῷ πτώματι εἶπεν· Ὁ θεὸς ὁ τῶν οὐρανῶν ποιητής, ὁ κύριος καὶ δεσπότης ἀγγέλων δοξῶν κυριοτύτων, ἐν τῷ ὀνόματι Ἰησοῦ Χρι στοῦ τοῦ παιδός σου τοῦ μονογενοῦς δὸς τούτῳ τῷ δι’ ἀφορμῆς τεθνηκότι ζωῆς παλιγγενεσίαν καὶ ἀπόδος αὐτῷ τὴν

ψυχήν, ἵνα μάθῃ Δομετιανὸς ὅτι ὁ λόγος τοῦ θεοῦ καὶ φαρμάκου πολὺ δυνατώτερος καὶ ζωῆς δεσπόζει, Λαβόμενος δὲ τῆς χειρὸς αὐτοῦ ἀνέστησεν αὐτὸν ζῶντα.

12 Δοξαζόντων δὲ τὸν θεὸν πάντων καὶ θαυμαζόντων τὴν τοῦ Ἰωάννου πίστιν, ἔφη αὐτῷ ὁ Δομετιανός· Δόγμα τῆς συγκλήτου ἐξέθηκα πάντας τοὺς τοιούτους ἀναπολογήτους ἀπάγεσθαι· ἀλλ’ ἐπειδὴ διὰ σοῦ εὑρίσκω αὐτοὺς ἀθφῴους καὶ μᾶλλον ἐπωφελῆ εἶναι αὐτῶν τὴν θεοσέβειαν, ἐξορίζω σε εἰς νῆσον, ἵνα μὴ δόξω ἐγὼ αὐτὸς καταλύειν τὰ ἐμαυτοῦ δόγματα. Τὸν μὲν οὖν κατάκριτον ᾐτήσατο ἀπολυθῆναι, καὶ ἀπολυθέντος αὐτοῦ εἶπεν ὁ Ἰωάννης· Ὕπαγε, χάριο ἔχε τῷ θεῷ τῷ σύμερόν σε ἐκ φυλακῆς καὶ ἐκ θανάτου λυτρωσαμένῳ.

13 Ἑστώτων δὲ αὐτῶν θρεπτή τις Δομετιανοῦ τῶν πρὸς τῷ κοιτῶνι αἰφνιδίως ληφθεῖσα ὑπό του ἀκαθάρτου δαίμονος ἔκειτο νεκρά, καὶ ἀνηγγέλη τῷ βασιλεῖ. κινηθεὶς δὲ ὁ βασλεὺς ἐδέετο τοῦ Ἰωάννου βοηθῆσαι αὐτῇ. ὁ δὲ Ἰωάννης εἶπεν· Οὐκ ἔστιν ἀνθρώπου τοῦτο παρασχεῖν· ἐπεὶ δὲ σὺ βασιλεύειν μὲν σΐδας, ὑπὸ τίνος δὲ ἔλαβες ἀγνοεῖς, μάθε τίς καὶ σοῦ καὶ τῆς βασιλείας σου ἐξουσίαν ἔχει. Καὶ ηὔξατο οὕτως· Κύριε ὁ θεὸς πάσης βασιλείας καὶ δέσποτα πάσης κτίσεως, δὸς τῇ κόρῃ ταύτῃ πνοὴν ζωῆς. Καὶ εὐξάμενος ἀνέστησεν αὐτήν. ἐκπλαγεὶς δὲ ἐπὶ πᾶσι τοῖς θαυμασίοις ὁ Δομετιανὸς ἀπέλυσεν αὐτὸν εἰς νῆσον, ὁρίσας αὐτὸν τακτὸν χρόνον.

14 Εὐθέως δὲ ἀπέπλευσεν ὁ Ἰωάννης εἰς Πάτμον, ὅπλου καὶ ἠξιώθη τὴν τῆς συντελείας ἰδεῖν ἀποκάλυψιν. τελευτήσαντος δὲ τοῦ Δομετιανοῦ παρέλαβεν τὴν βασλείαν Νέρβας, ὃς πάντας τοὺς ἐξορισθέντας ἀνεκαλέσατο· ἑνιαυτὸν δὲ κατασχὼν τὴν βασιλείαν, διάδοχον τῆς βασιλείας Τφαίανὸν ἐποιήσατο. οὗ βασιλεύοντος Ῥωμαίων ἐπανελθὼν εἰς τὴν Ἔφεσον ὁ Ἰωάννης ἐκρά τυνεν πᾶν τὸ τῆς ἐκκλησίας διδασκαλεῖον, πολλά τε προσομιλῶν καὶ ἀπομνημονεύων ὅσα ὁ κύριος αὐτοῖς ἔλεγεν καὶ τίνα ἑκάστῳ διηγεῖτο. γενόμενος δὲ γηραλέος καὶ μεταλλάσσων ἐπισκοπεύειν τῇ ἐκκλησίᾳ τῷ Πολυκάρπῳ ἐνεκελεύσατο.

18 Ὁ δὲ Ἰωάννης ἠπείγετο εἰς τὴν Ἔφεσον ὑπὸ ὁράματος κεκινημένος· ὁ οὖν Δαιμόνικος καὶ ὁ συγγενὴς αὐτοῦ Ἀριστόθημος καί τις πάνυ πλούσιος Κλεόβιος καὶ ἡ γυνὴ τοῦ Μαρκέλλου ἐπέσχον αὐτὸν μόλις μιᾶς ἡμέρας ἐν τῇ Μιλήτῳ συναναπαυόμενοι αὐτῷ. ὡς δὲ ὑπὸ βαθὺν ὄρθρον ἐξήεσαν καὶ ἤδη τῆς ὁδοῦ ἤνυστο ὡσεὶ μίλια τέσσαρα, φωνὴ ἠνέχθη ἀπὸ οὐρανοῦ πάντων ἡμῶν ἀκουόντων λέγουσα· Ἰωάννη, μέλλεις ἐν Ἐφέσῳ δόξαν τῷ κυρίῳ σου διδόναι ἣν εἴσῃ, σὺ καὶ πάντες οἱ σύν σοι ἀδελφοὶ καί τιενες τῶν ἐκεῖ μελλόντων διὰ σοῦ πιστεύειν. Ἐνενόει οὖν ὁ Ἰωάννης ἐν ἑαυτῷ ἀγαλλιώμενος τί ἄρα ἦν τὸ μέλλον ἐν Ἐφέσῳ ἀπαντᾶν, λέγων· Κύριε ἰδοὺ κατὰ τὸ θέλημά σου βαδίζω· γενέσθαι ὃ βούλει.

19 Καὶ ἐγγιζόντων ἡμῶν τῇ πόλει ὁ στρατηγὸς Ἐφεσίων Λυκομήδης, ἄνθρωπος τῶν δαιμόνων, ἀπήντησεν ἡμῖν, καὶ προσπεσὼν τοῖς ποσὶν Ἰωάννου παρεκάλει λέγων· Ἰωάννης ἐστί σοι ὄνομα; ἔπεμψέ σε ὁ θεὸς ὃν κηρύσσεις ἐπ’ εὐεργεσίᾳ τῆς ἐμῆς γυναικός, παραπλήγου γεγονότος ἤδη ἡμέρας ἑπτὰ καὶ ἀθεραπεύτου

κειμένης. ἀλλὰ δόξασόν σου τὸν θεὸν ἰασάμενος αὐτὴν σπλαγχνισθεὶς ἐφ' ἡμᾶς. παραστὰς γάρ τις ἤδη σκεπτομένῳ ἐμαυτὸν λογισμὸν δοῦναι τοῦτον ἔφη· Λυκόμηδε, παῦσαι τῆς κατὰ σοῦ στρατευομένης ἐννοίας χαλεπῆς οὔσης· μὴ ὑποβάλῃς σεαυτὸν ταύτην· ἐγοὼ γὰρ σπλαγχνισθεὶς ἐπὶ τὴν ἐμὴν δούλην Κλεοπάτραν ἔπεμψα ἐκ Μιλήτου ἄνδρα ὀνόματι Ἰωάννην ὅστις οὐτὴν ἀναστήσας ἀποδώσει σοι σῴαν. βράδυνε οὖν δοῦλε τοῦ φανερώσαντός μοι θεοῦ σαυτόν, ἀλλὰ σπεῦσον ἐπὶ τὴν πνοὴν μόνην ἔχουσαν γυναῖκα. Καὶ εὐθέως ὁ Ἰωάννης ἀπῄει ἀπὸ τῆς πύλης ἅμα τοῖς σὺν αὐτῷ ἀδελφοῖς καὶ Λυκομήδης εἰς τὸν οἶκον αὐτοῦ. ὁ δὲ Κλεόβιος ἔφη τοῖς αὐτοῦ νεανίσκοις· Ἀπέλθατε πρὸς τὸν συγγενῆ μου Κάλλιππον καὶ ξενίαν ἀρετήν λάβετε παῤ αὐτοῦ—ἔχων γὰρ τὸν υἱὸν αὐτοῦ παραγίνομαι ἐκεῖ — ὅπως εὐπρεπῆ τὰ πάντα εὕρωμεν.

20 Γενόμενος δὲ ὁ Λυκομήδης σὺν τῷ Ἰωάννῃ ἐν τῇ οἰκίᾳ ἐν ᾗ ἡ γυνὴ ἔκειτο πάλιν αὐτοῦ τῶν ποδῶν ἥπτετο λέγων· Ἴδε κύριε τὸ μαρανθὲν κάλλος, ἔδε τὴν νεότητα, ἴδε τὸ διαβόητον ἄνθος τῆς ταλαιπώρου μου γυναικὸς ἐφ' ᾧ ὅλη ἡ Ἔφεσος ἐξεστήκει· ἐφθονήθην ὁ τάλας, ἐταπεινώθην, ὀφθαλμὸς ἐχθρῶν ἔπληξέ με· οὐδέποτε ἠδίκησα οὐδένα, καίτοι πολλοὺς δυνάμενος βλάψαι, τοῦτο αὐτὸ προορώμενος, μή τι κακὸν ἤ τινα τύχη ταύτην ἴδοιμι φυλασσόμενος. τί οὖν οφελος γέγονε Κλεοπάτρα εὐλαβούμενόν με; τί οὖν ὤνησα εὐσεβὴς χρηματίσας ἕως σήμερον; δυσσεβοῦς χείρονα πάσχω ὅτι σὲ τοαύτην Κλεοπάτραν ὁρῶ κειμένην. οὐκ ὄψεταί με ἥλιος περιπολῶν σοῦ μηκέτι προσομιλοῦντος. φθάσω σε Κλεοπάτρα ἀπολύων ἑαυτὸν τοῦ βίου. ἀφειδήσω τῆς σωτηρίας μου ἔτι νεάνιδος οὔσης. ἀπολογήσομαι τῇ δίκῃ ὡς δκαίως μοι ὑποδράσαντος ἐξὸν δικασθῆναι πρὸ αὐτὴν ὡς ἀδίκως δικάζουσαν. τιμωρήσομαι αὐτὴν εἴδωλον βίου παραγενόμενος. ἐρῶ πρὸς αὐτήν· Σύ μου τὸ φῶς ἐβιάσω Κλεοπάτραν ἀφαρπάσασα· σύ με νεκρὸν ἐποίησας γενέσθαι τοῦτό μοι παρασχομένη· σύ με τὴν πρόνοιαν ἐβιάσω ἐνυβρίσαι ἐκκόψασά μου τὴν παρρησίαν.

21 Καὶ ἔτι πλείονα λέγων ὁ Λυκομήδης πρὸς τὴν Κλεοπάτραν προσελθὼν τῇ κλίνῃ ἀναβοῶν ἐθρήνει. ὁ δὲ Ἰωάννης ἀπέσπασεν αὐτὸν εἰπών· Μετάστηθι τῶν θρήνων τούτων καὶ τῶν ἀναρμόστων σου ῥημάτων. οὐ προσήκει ἀπεισθῆναι τῷ θεωμένῳ σοι. ἵστη γὰρ ἀπολαμβάνων τὴν αὐτοῦ σύμβιον. σὺν ἡμῖν τοίνυν στὰς τοῖς διὰ ταύτην ἐληλυθόσιν ἔπευξαι τῷ θεῷ ὃν εἶδες φανεροῦντά σε δι' ὀνειράτων. τί οὖν ἐστιν ᾧ Λυκόμηδες; διυπνίσθητι καὶ αὐτὸς καὶ ἄνοιξόν σου τὴν ψυχήν. ἀπόβαλε τὸν πολὺν ὕπνον ἀπὸ σοῦ. δεήθητι τοῦ κυρίου, παρακάλεσον αὐτὸν ὑπὲρ τῆς συμβίου σου καὶ ἀναστήσῃ. Ὁ δὲ πεσὼν ἐπὶ τοῦ ἐδάφους ἐθρήνει ὁλοψυχῶν. ὁ οὖν Ἰωάννης ἔφη μετὰ δακρύων· Ὢ καιυῆς προδοσίας ὁράματος· ὢ καινοῦ πειρασμοῦ ἐμοῦ κατασκευασθέντος· ὢ καινῆς τέχνης τοῦ κατ' ἐμοῦ τεχνασαμένου. ἡ ἀπ' οὐρανοῦ φωνὴ ἐνεχθεῖσά μοι ἐν τῇ ὁδῷ ταῦτά μοι ἐπραγματεύσατο; ταῦτά μοι προεδήλωσε τὰ μέλλσντα γενέσθαι ἐνθάδε; παραδιδούς με ὄχλῳ τοσούτῳ τῶν πολιτῶν ἕνεκεν Λυκομήδους; ὁ ἀνὴρ ἄπνους κεῖται, κἀμὲ εὖ οἶδα ὅτι ζῶντα τῆς οἰκίας οὐκ ἐάσει με ἐξελθεῖν. τί μέλλεις κύριε; τί σου τὸ χρηστὸν ἐπάγγελμα ἀποκέκλῃκας ἡμῖν; μή, δέομαί σου κύριε, μὴ δῷς χορεῦσαι τῷ ἐπ' ἀλλοτρίοις

κακοῖς ἡδομένῳ· μὴ δῷς τούτῳ ὀρχεῖσθαι τῷ καταγγέλοντι ἡμῶν ἀεί. ἀλλά σου τὸ ἅγιον ὄνομα καὶ τὸ ἔλεος σπευσάτω. ἀνέγειρον πτώματα δύο κατ' ἐμοῦ γεγενημένα.

22 Καὶ δὴ τοῦ Ἰωάννου ἐκβοῶντος ἡ Ἐφεσίων πόλις συνέδραμεν εἰς τὸν οἶκον Λυκομήδους ὡς τετελευτηκότος. ὁ δὲ Ἰωάννης ἰδὼν τὸν πολὺν ὄχλον τὸν ἐληλυθότα εἶπε πρὸς κύριον· Νῦν καιρὸς ἀναψύξεως καὶ παρρησίας τῆς πρὸς σὲ Χριστέ. νῦν καιρὸς κάμνουσιν ἡμῖν τῆς ἐκ σοῦ βοηθείας ἰατρὲ δωρεὰν ἰωμένῳ. ἀκαταγέλαστόν μου τὴν ἐνταῦθα εἴσοδον διαφύλαξον. δέομαί σου Ἰησοῦ, ἐπαμύνω πλήθει τοσούτῳ ἐλθεῖν ἐπὶ σὲ τὸν τῶν ὅλων δεσπότην. ἴδε τὴν θλῖψιν, ἴθε τοὺς κατακειμένους. σὺ κατάρτισον καὶ ἀπὸ τῶν ἐντεῦθεν συνεληλυθότων σκεύη ἅγια εἰς ὑπηρεσίαν τὴν σὴν θεασαμένων τὴν δωρεάν σου. αὐτὸς γὰρ εἶπας Χριστέ· Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν. Αἰτούμεθα οὖν σε βασιλεῦ οὐ χρυσόν, οὐκ ἄργυρον, οὐχ ὕπαρξιν, οὐ κτῆσιν, οὐδὲ τι τῶν ἐπὶ γῆς ὄντων ἀπολλυμένων, ἀλλὰ ψυχὰς δύο δι' ὧν ἐπιστρέφειν μέλλοντας ἐπὶ τὴν σὴν ὁδόν, ἐπὶ τὴν σὴν μάθησιν, ἐπὶ τὴν σὴν παρρησίαν, ἐπὶ τὴν ἄριστόν σου ἐπαγγελίαν· καταμαθόντες γὰρ τὴν δυναστείαν σου διὰ τοῦ ἐγηγέρθαι τοὺς ἀποψύξαντας σωθήσονταί τινες αὐτῶν. παράσχου οὖν καὶ αὐτὸς ἐλπίδα ἐπὶ σέ. πρόσειμι τοίνυν τῇ Κλεοπάτρᾳ λέγων· Ἀνάστηθι ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ.

23 Καὶ προσελθών, ἁψάμενος τοῦ προσώπου αὐτῆς ἔφη· Κλεοπάτρα, λέγει ὃν ἐφοβήθη πᾶς ἄρχων καὶ πᾶσα κτίσις, δύναμις, ἄβυσσός τε καὶ σκότος ἅπαν καὶ θάνατος ἀγέλαστος καὶ οὐρανῶν ὕψωμα καὶ ᾅδου κυκλώματα καὶ νεκρῶν ἀνάστασις καὶ πηρῶν ὄψις καὶ τοῦ κοσμοκράτορος ἅποσα ἡ δύναμις καὶ ἡ τοῦ ἄρχοντος ὑπερηφανία· Ἀνάστηθι, καὶ μὴ γίνου πρόφασις πολλοῖς ἀπιστεῖν θέλουσι καὶ θλίψεις ψυχὰς δυναμένας ἐλπίσαι καὶ σωθῆναι. Καὶ ἡ Κλεοπατρα εὐθέως μετὰ φωνῆς ἐβόησεν· Ἀνίσταμαι δέσποτα· σῷζε τὴν δούλην σου. ἀναστήσεις δέ μου δι' ἡμερῶν ἑπτὰ ἡ πόλις Ἐφεσίων ἐκινεῖτο ἐπὶ τῷ παραδόξῳ θεάματι. ἠρώτα δὲ ἡ Κλεοπάτρα περὶ τοῦ ἀνδρὸς αὐτῆς Λυκομήδους· ὁ δὲ Ἰωάννης εἶπεν αὐτῇ· Κλεοπάτρα, ἀκίνητον ἔχουσα τὴν ψυχὴν καὶ ἀμετάτρεπτον αὐτόθεν ἔξεις Λυκομήδην τὸν σύμβιόν σου ἐνταῦθά σοι παρεστῶσα, εἴ γε μὴ ταράσσῃ μηδὲ κινῇ ἐπὶ τῷ γεγονότι, πιστεύσασα ἐπὶ τῷ θεῷ μου, ὅστις δι' ἐμοῦ ζῶντα αὐτὸν χαρίσεται. ἐλθὲ οὖν ἅμα ἐμοὶ εἰς τὸν ἕτερόν σου κοιτῶνα, καὶ θεάσῃ αὐτὸν νενεκρωμένον, ἀνιστάμενον δὲ τῇ τοῦ θεοῦ μου δυνάμει.

24 Καὶ ἡ Κλεοπάτρα ἐλθοῦσα σὺν τῷ Ἰωάννῃ εἰς τον κοιτῶνα αὐτῆς καὶ ἰδοῦσα τὸν Λυκομήδην τεθνηκότα αὐτὴ ἕνεκα, ἔπασχε τῇ φωνῇ καὶ τοῖς ὀδοῦσιν ἔτριζε καὶ τὴν γλῶσσαν ἀπέδακνε καὶ τοὺς ὀφθαλμοὺς καμμύουσα δάκρυα προσέβρεχε· καὶ ἠρέμα τῷ ἀποστόλῳ προσεῖχεν. ὁ δὲ Ἰωάννης σπλαγχνισθεὶς ἐπὶ τῇ Κλεοπάτρᾳ ὡς εἶδεν αὐτὴν μὴ μανεῖσαν μηδὲ ἐκστᾶσαν, ἐκάλεσε τὰ τέλεα σπλάγχνα καὶ ἀνυπερήφανα, εἶπε· Κύριε Ἰησοῦ Χριστέ, ὁρᾷς τὸ συνέχον· ὁρᾷς τὴν ἀνάγκην· ὁρᾷς Κλεοπάτραν ἐκβοῶσα τὴν ψυχὴν διὰ τοῦ σιγᾶν· συνέχει γὰρ ἐν ἑαυτῇ τὴν ἀφόρητον μανίαν· ἐπίσταμαι δὲ ὅτι ἕνεκεν τοῦ Λυκομήδους καὶ αὐτὴν ἐπαποθανουμένην. Ἡ δὲ ἠρέμα

εἶπε πρὸς Ἰωάννην· Τοῦτο σκέπτομαι δέσποτα καὶ οὐχ ἕτερον. Καὶ προσελθὼν τῷ κλινιδίῳ ὁ ἀπόστολος ἐφ' οὗ ὁ Λυκομήδης ἔκειτο καὶ λαβόμενος τῆς χειρὸς Κλεοπάτρας ἔφη· Κλεοπάτρα, διὰ τὸν παρεστῶτα ὄχλον καὶ τοὺς ἐπεισελθόντας συγγενεῖς σου μετὰ κραυγῆς ἰσχυρᾶς εἶπόν σου τῷ ἀνδρί· Ἀναστὰς δόξασον τοῦ θεοῦ τὸ ὄνομα, ὅτι νεκροὺς νεκροῖς χαρίζεται. Ἡ δὲ προσελθοῦσα καὶ εἰποῦσα τῷ ἀνδρὶ αὐτῆς καθ' ἃ ἐδιδάχθη εὐθὺς ἀνέστησεν αὐτόν. ὃ δὲ ἀναστὰς καὶ πεσὼν ἐπὶ τοῦ ἐδάφους τοὺς τοῦ Ἰωάννου πόδας κατεφίλει. ὃ δὲ ἐγείρας αὐτὸν λέγει· Μὴ τοὺς ἐμοὺς πόδας ἄνθρωπε φίλει ἀλλὰ τοὺς τοῦ θεοῦ οὗ δυνάμει ἀνέστητε ἀμφότεροι.

25 Ὁ δὲ Λυκομήδης τῷ Ἰωάννῃ ἔφη· Παρακαλῶν σε ἐνορκίζω οὗ ὀνόματι ἤγειρας ὑμᾶς θεοῦ οὐν ὑμῖν μεῖναι ἅμα τοῖς σύν σοι πᾶσιν. Ὁμοίως δὲ καὶ ἡ Κλεοπάτρα τῶν ποδῶν αὐτοῦ ἁπτομένη ταὐτά ἔλεγεν. ὁ δὲ Ἰωάννης ἔφη αὐτοῖς· Αὔριον παρ' ὑμῖν ἔσομαι. Κἀκεῖνοι πάλι αὐτῷ ἔφησαν· Ἐλπὶς ἡμῖν οὐκ ἔστιν ἐν τῷ θεῷ σου, ἀλλὰ μάτην εἴημεν ἐγηγερμένοι, ἐὰν μὴ μείνῃς παρ' ἡμῖν. Καὶ ὁ Κλεόβιος ἅμα τῷ Ἀριστοδήμῳ καὶ ὁ Δαμόνικος πληγέντες τὰς ψυχὰς ἔφησαν τῷ Ἰωάννῃ· Μείνωμεν πρὸς αὐτοὺς ὅπως ἀσκανδάλιστοι μείνωσι πρὸς τὸν κύριον. Ὁ δὲ ἐπέμεινεν ἐκεῖ σὺν τοῖς ἀδελφοῖς.

26 Συνῆλθου οὖν πλήθους πολλοῦ συναγωγὴ τοῦ Ἰωάννου ἕνεκα. καὶ ἐν τῷ ὁμιλεῖν αὐτὸν τοῖς παροῦσιν ὁ Λυκομήδης φίλον εὐφυῆ ἔχων ζωγράφον δρομαῖος ἐπ' αὐτὸν ἦλθε, καὶ λέγει αὐτῷ· Ὁρᾷς ἐμὲ αὐτὸν ἐσκυλμένον πρὸς σέ· ἐλθὲ ταχέως εἰς τὴν οἰκίαν, καὶ ὃν ὑποδείκνυμί σοι τοῦτον γράψον μή ἐπισταμένου αὐτοῦ. Καὶ ὁ ζωγράφος ἐπιδούς τινι τα ἑαυτοῦ ἐπιτήδεια ἐργαλεῖα καὶ χρώματα εἶπε τῷ Λυκομήδῃ· Ὑπόδειξόν μοι αὐτὸν καὶ τοῦ λοιποῦ ἔσο ἀφρόντιστος. Καὶ ὁ Λυκομήδης δείξας τὸν Ἰωάννην τῷ ζωγράφῳ καὶ ἐγγίσας καὶ συγκλείσας εἴς τινα οἶκον ἀφ' οὗ ἐωρᾶτο ὁ τοῦ Χριστοῦ ἀπόστολος· συνῆν δὲ ὁ Λυκομήδης τῷ μακαρίῳ εὐωχούμενος τῇ πίστει καὶ τῇ γνώσει τοῦ θεοῦ ἡμῶν, ἐπὶ πλεῖον δὲ ἠγαλλιάσατο ὅτι ἐν εἰκόνι ἤμλλεν αὐτὸν ἔχει.

Ὁ οὖν ζωγράφος τῇ πρώτῃ ἡμέρᾳ σκιαγραφήσας αὐτὸν ἀπηλλάγη· τῇ δὲ ἑξῆς καὶ τοῖς χρώμασιν αὐτὸν κατεκέρασε, καὶ οὕτως τῷ Λυκομήδει χαίροντι τὴν εἰκόνα ἀπέδωκεν. ἣν λαβὼν καὶ ἀναθεὶς εἰς τὸν ἑαυτοῦ κοιτῶνα ἔστεφεν· ὡς ὕστερον γνόντα τὸν Ἰωάννην εἰπεῖν αὐτῷ· Ἀγαπητόν μου τέκνον, τί διαπράττῃ ἀπὸ τοῦ βαλανείου εἰσερχόμενος εἰς τὸν κοιτῶνά σου μόνος; ἐγὼ οὐχὶ σὺν σοὶ καὶ τοῖς λοιποῖς ἀδελφοῖς εὔχομαι; ἢ ἡμᾶς κρύπτεις; Καὶ ταῦτα λέγων καὶ παίζων μετ' αὐτοῦ εἴσεισιν εἰς τὸν κοιτῶνα· καὶ ὁρᾷ εἰκόνα περιεστεμμένην πρεσβύτου καὶ παρακειμένους λύχνους καὶ βωμοὺς ἔμπροσθεν. καὶ φωνήσας αὐτὸν εἶπε· Λυκόμηδες, τί βούλεταί σοι τὸ τῆς εἰκόνος ταύτης; τῶν θεῶν σού τις τυγχάνει ὁ γεγραμμένος; ὁρῶ γάρ σε ἔτι ἐθνικῶς ζῶντα. Καὶ ὁ Λυκομήδης αὐτῷ ἀπεκρίνατο· Ὁ θεὸς μέν μοί ἐστιν ἐκεῖνος μόνος ὁ ἐμὲ ἐγείρας ἐκ τοῦ θανάτου μετὰ τῆς συμβίου μου. εἰ δὲ γε καὶ μετὰ τὸν θεὸν ἐκεῖνον τοὺς εὐεργέτας ἡμῶν ἀνθρώπους

θεοὺς χρὴ καλεῖσθαι, σὺ εἶ πάτερ ὁ ἐν τῇ εἰκόνι γεγραμμένος μοι, ὃν στέφω καὶ φιλῶ καὶ σέβομαι ὁδηγὸν ἀγαθόν μοι γεγονότα.

28 Καὶ ὁ Ἰωάννης μηδέποτε τὸ ἑαυτοῦ πρόσωπον θεασάμενος εἶπεν αὐτῷ· Παίζεις με τέκνον· τοιοῦτός εἰμι τῇ μορφῇ τὸν κύριόν σου; πῶς με πείθεις ὅτι μοι ἡ εἰκὼν ὁμοία ὑπάρχει; Καὶ ὁ Λυκομήδης αὐτῷ προσήγαγε κάτοπτρον· καὶ ἰδὼν ἑαυτὸν ἐν τῷ κατόπτρῳ καὶ ἀτενίσας τῇ εἰκόνι εἶπε· Ζῇ κύριος Ἰησοῦς Χριστός, ὁμοία μοι ἡ εἰκών· οὐκ ἐμοὶ δὲ τέκνον ἀλλὰ τῷ σαρκικῷ μου εἰδώλῳ· εἰ γὰρ θέλει με ὁ ζωγράφος οὗτος ὁ μιμησάμενός μου τὴν ὄψιν ταύτην ἐν εἰκόνι γράψαι, χρωμάτων τῶν δεδομένων σοι νῦν ἀπορῆσαι αὐτὸν καὶ σανίδων καὶ τόπου καὶ πόλις καὶ σχήματος μορφῆς καὶ γύρους καὶ νεότητος καὶ πάντων τῶν ὁρωμένων.

29 γενοῦ δέ μοι σὺ ἀγαθὸς ζωγράφος Λυκόμηδες· ἔχεις χρώματα ἃ σοι δίδωσι δι’ ἐμοῦ ὁ ἑαυτῷ πάντας ἡμᾶς ζωγραφῶν Ἰησοῦς, ὁ τὰς μορφὰς καὶ τὰ εἴδη καὶ τὰ σχήματα καὶ τὰς διαθέσεις καὶ τοὺς τύπους τῶν ψυχῶν ἡμῶν ἐπιστάμενος. ἔστι δὲ ταῦτα τὰ χρώματα ἅπερ σοι λέγω ζωγραφεῖν πίστις ἡ εἰς θεόν, γνῶσις, εὐλάβεια, φιλία, κοινωνία, πρᾳότης, χρηστότης, φιλαδελφία, ἁγνεία, εἰλικρίνεια, ἀταραξία, ἀφοβία, ἀλυπία, σεμνότης, καὶ ὅλος ὁ τῶν χρωμάτων χορὸς ὁ εἰκονογραφῶν σου τὴν ψυχήν, καὶ καταβεβλημένα σου τὰ μέλη ἀνεγείρων ἤδη, τὰ δὲ ἐπηρμένα ὁμαλίζων, καὶ τὰς πληγὰς θεραπεύων καὶ τὰ τραύματα ἰώμενος καὶ τὰς πειρωμένας σου τρίχας συντιθεὶς καὶ τὸ πρόσωπόν σου νίπτων καὶ τοὺς ὀφθαλμούς σου παιδεύων καὶ τὰ σπλάγχνα σου καθαρίζων καὶ τὴν γαστέρα σου κοιλαίνων καὶ τὰ ὑπογάστριά σου ἐκκόπτων· καὶ ἁπλῶς ὅλη συνελθοῦσα τῶν τοιούτων χρωμάτων καὶ μίξεις ἐπὶ τὴν ψυχήν σου ἀνέκπληκτον καὶ ἄξεστον καὶ στερεόμορφον αὐτὴν ἐπὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καταστήσει· ὃ δὲ νῦν διεπράξω παιδιῶδες καὶ ἀτελές· ἔγραψας νεκροῦ νεκρὰν εἰκόνα.

30 Καὶ κελεύσας Βήρῳ τῷ διακονοῦντι αὐτῷ ἀδελφῷ τὰς ἐν ὅλῃ τῇ Εφέσῳ ἀγαγεῖν πρεσβυτέρας, ἡτοιμάζετο δὲ ἅμα τῇ Κλεοπάτρᾳ καὶ τῷ Λυκομήδει τὰ πρὸς ἐπιμέλειαν. ἦλθεν οὖν ὁ Βῆρος λέγων τὸν Ἰωάννην· Τῶν ἐνθάδε οὐσῶν πρεσβυτίδων ὑπὲρ ἑξήκοντα τεσσάρων μόνον τῷ σώματι ὑγιαινούσας εὗρον, τῶν δὲ λοιπῶν τινὰς δὲ καὶ παραλυτικὰς καὶ ἄλλας νοσούσας. Ὁ δὲ Ἰωάννης ταῦτα ἀκούσας καὶ ἐπὶ πολὺ ἡσυχάσας καὶ τὸ πρόσωπον αὐτοῦ ἀποτρίβων εἶπεν· Ὢ ἀτονία τῶν ἐν Ἐφέσῳ οἰκούντων· ὦ πράγματα ἐκλελυμένα καὶ ἀσθένεια ἡ πρὸς τὸν θεόν· χρόνῳ ἐμπαίξας Ἐφεσίων τοῖς πιστοῖς διάβολε· Ἰησοῦς μοι χάριν διδοὺς καὶ δωρεὰν ἔχειν με τῆς ἐν αὐτῷ παρρησίας λέγει μοι νῦν σιγῶν· Μετάπεμψαι τὰς νοσούσας γραίας καὶ γενοῦ ἅμα αὐταῖς ἐν τῷ θεάτρῳ καὶ δι’ ἐμοῦ θεράπευσον αὐτάς· εἰσὶ γάρ τινες τῶν ἐρχομένων ἐπὶ τῇ θέᾳ ταύτῃ οὓς διὰ τῶν τοιούτων ἰάσεων εἴ τι χρήσιμον γενόμενος ἐπιστρέψω.

31 Τοῦ δὲ παντὸς ὄχλου συνελθόντος πρὸς τὸν Λυκομήδην τοῦ Ἰωάννου ἕνεκα ἀπετάξατο πᾶσι λέγων· Αὔριον γίνεσθε ἐν τῷ θεάτρῳ ὁπόσοι βούλεσθε τὴν τοῦ θεοῦ δύναμιν. Οἱ δὲ ὄχλοι τῇ ἐπαύριον ἐκ νύκτωρ ἦλθον εἰς τὸ θέατρον· ὡς καὶ τὸν ἀνθύπατον γνόντα σπεῦσαι καὶ συγκαθίσαι τῷ παντὶ ὄχλῳ. Ἀνδρόνικος δέ

τις στρατηγός, πρῶτος ὢν τῶν Ἐφεσίων κατ᾽ ἐκεῖνο καιροῦ, ἐφήμιζεν ἀδύνατα καὶ ἄπιστα τῷ Ἰωάννῃ ὑπεσχνεῖσθαι· Εἰ δέ τι τοιοῦτον ὁποῖον ἀκούω, ἔλεγεν, ἔχειν, τὸ δημόσιον θέατρον ἀνεῳγὸς εἰσιέτω γυμνός, μηδὲν ἐπὶ τῶν χειρῶν αὐτοῦ κρατῶν, μηδὲ τὸ μαγικὸν ἐκεῖνο ὀνομαζέτω ὄνομα ὃ ἀκήκοα αὐτοῦ λέγοντος.

32 Ταῦτα οὖν γνοὺς ὁ Ἰωάννης καὶ κινηθεὶς ὑπὸ τῶν ῥημάτων τούτων ἐκέλευσε τὰς πρεσβύτιδας εἰς τὸ θέατρον ἀχθῆναι. ὡς δὲ εἰσήχθησαν πᾶσαι, αἳ μὲν κραββάτοις αἳ δὲ νυσταγμῷ κείμεναι αὐτῶν, εἰς τὸ μέσον, καὶ τῆς πόλεως συνδραμούσης, σιγῆς πολλῆς γενομένης, ὁ Ἰωάννης ἀνοίξας τὸ στόμα αὐτοῦ ἤρξατο λέγειν·

33 Ἄνδρες Ἐφέσιοι, γνῶτε πρῶτον τίνος ἕνεκεν τῇ ὑμετέρᾳ πόλει ἐπιθημῶ, ἢ τίς ἡ τοσαύτη μου παρρησία πρὸς ὑμᾶς, ὡς καὶ τῷ κοινῷ τούτῳ βουλευτηρίῳ πᾶσιν ἡμῖν καταδήλου γενέσθαι. ἀπέσταλμαι οὖν ἀποστολὴν οὐκ ἀνθρωπίνην οὐδὲ ἀποδημίαν ματαίαν· οὐδὲ τις ἔμπορος τυγχάνω ἀντιπράσεις ποιούμενος ἢ ἀντικαταλλαγάς, ἀλλ᾽ ὑμᾶς ὅλους ἐπιστρέφων ἀπιστίᾳ κεκρατημένους καὶ ἐπιθυμίαις αἰσχραῖς πεπραμένους ὃν κηρύσσω Ἰησοῦν Χριστὸν εὔσπλαγχνος ὢν καὶ χρηστὸς βούλεται δι᾽ ἐμοῦ τῆς πλάνης ὑμᾶς ἐξελέσθαι· οὗ δυνάμει καὶ τὴν τοῦ στρατηγοῦ ὑμῶν ἀπιστίαν ἐλέγξω τὰς ἔμπροσθεν ἡμῶν κατακειμένας ἀνιστῶν, ἃς πάντες ὁρᾶτε ἐν οἵῳ δὴ καὶ ἐν ποίοις νόσοις ὑπάρχετε· καὶ οὐκ ἔστι μοι νῦν τοῦτο ὀλυσμένων αὐτῶν καὶ θεραπείαις συναρεθήσονται.

34 ἐκεῖνο δὲ ἐβουλόμην πρῶτον ἐγκατασπεῖραι ὑμῶν τοῖς, ἀκοαῖς τῷ τῶν ψυχῶν ἐπιμελεῖσθαι, οὗ ἕνεκεν παραγέγονα πρὸς ὑμᾶς, μὴ προσδοκᾶν τὸν χρόνον τοῦτον αἰῶνα ὑπάρχειν ὅς ἐστι ζυγοῦ, μηδὲ θησαυρίζειν ἐπὶ τῆς γῆς ἔνθα ἄπαντα μαραίνονται· μηδὲ ἡγεῖσθε παίδων ὑμῖν συγγινομένων αὐτοῖς ἀναπεπαῦθαι· μηδὲ τούτων ἕνεκεν ἀποστερεῖν καὶ πλεονεκτεῖν πειρᾶσθε· μηδὲ λυπῆσθε οἱ πένητες εἰ μὴ ἔχητε ταῖς ἡδοναῖς ὑπηρετεῖν· καὶ γὰρ οἱ ἔχοντες ἐν νόσοις γενόμενοι μακαρίζουσι· μηδὲ ὑμεῖς οἱ πλούσιοι χαίρετε ἐπὶ τῷ ἔχειν πλείονα χρήματα· ἐν γὰρ τῷ ταῦτα κεκτῆσθαι ἀχώριστον τὴν λύπην πορίζεσθε ἀπολυόμενοι αὐτῶν· καὶ πάλιν φοβεῖσθε παρόντες μή τις πείθεται ὑμῖν αὐτῶν ἕνεκα.

35 ὁ δὲ ἐν εὐμορφίᾳ σώματος ἐπαιρόμενος καὶ τὸ βλέμμα ἐπανατείνων τὸ τέλος γοῦν τῆς ἐπαγγελίας ἐπὶ τοῦ μνήματος θεάσῃ· ὁ δὲ μοιχείᾳ χαίρων γνῶθι ὅτι καὶ νόμῳ καὶ φύσις τετιμώρηται καὶ πρὸ τούτων ἡ συνείδησις. ἡ δὲ μοιχευομένη γυνὴ αὔταρκις οὖσα τῷ νόμῳ ἀγνοεῖς ὅπου καντατήσεις. ὁ δὲ τοῖς δεομένοις μὴ κοινωνῶν, ἔχων δὲ χρήματα ἀπόθεται, ἀπαλλαγεὶς τοῦ σώματος τούτου καὶ δεόμενός τινος ἐλέους ἐν πυρὶ φλεγόμενος οὐχ ἕξει τὸν ἐλεοῦντα. ὁ δὲ ὀργίλος καὶ μανιώδης γνῶθι ὅτι ὅμοια τοῖς ἀλόγοις ζῴοις πολιτεύῃ. ὁ δὲ μέθυσος καὶ αἱρετικὸς κατάμαθε ὅτι ἐξίσταται τῶν φρενῶν δουλεύων αἰσχρᾷ καὶ ῥυπαρᾷ ἐπιθυμίᾳ.

36 ὁ δὲ χρυσῷ χαίρων καὶ ἐλεφαντίνων καὶ λίθοις τερπόμενος νυκτὸς ἐπελθούσης ἃ φιλεῖς θεᾶσαι; ὁ δὲ μαλακαῖς ἐσθῆσι νικώμενος, εἶτα δὲ ἀπαλλασσόμενος τοῦ βίου, ταῦτα ὀφλῆσαι κἀκεῖ ὅπου πορεύῃ; ὁ δὲ φονεὺς γινωσκέτω τὴν ἀξίαν

τιμωρίαν διπλῆν ἀποκεῖσθαι μετὰ τὴν ἐνθένδε λύσιν. ὁμοίως καὶ ὁ φαρμακός, ὁ περίεργος, ὁ ἅρπαξ, ὁ ἀποστερητής, ὁ ἀρσενοκοίτης, ὁ κλέπτης, καὶ ὁπόσοι τοιούτου χοροῦ ὑπάρχοντες, τῶν ἔργων ὑμῶν καθηγουμένων ἐπὶ πῦρ ἄσβεστον καὶ σκότος μέγιστον καὶ βυθὸς κολαστηρίων καὶ ἀπειλὰς αἰωνίους καταντήσετε. ὅθεν ἄνδρες Ἐφέσιοι ἐπιστρέψατε ἑαυτούς, ἐπιστάμενοι καὶ τοῦτο ὅτι οἱ βασιλεῖς, οἱ δυνάσται, οἱ τύραννοι, οἱ ἀλαζόνες, οἱ πολέμους χειρωσάμενοι γυμνοὶ τῶν ἐνθένδε ἀπαλλασσόμενοι, ἐν κακοῖς δὲ αἰωνίοις συγγινόμενοι ὀδυνῶνται.

Sections 37 to 75

37 Καὶ ταῦτα εἰπὼν ὁ Ἰωάννης δυνάμει θεοῦ ἰάσατο πάσας τὰς νόσους. οἱ δὲ ἀπὸ Μιλήτου ἀδελφοὶ ἔφησαν τῷ Ἰωάννῃ· Πολὺν χρόνον ἐν τῇ Ἐφέσῳ μεμενήκαμεν· εἰ δοκεῖ σοι, καὶ εἰς Σμύρνην πορευθῶμεν. ἤδη γαρ ἀκούομεν τὰ μεγαλεῖα τοῦ θεοῦ κἀκεῖ κεχωρηκότα. Καὶ ὁ Ἀνδρόνικος ἔφη αὐτοῖς· Ὁπόταν ὁ διδάσκαλος θέλῃ, τότε πορευθῶμεν. Ὁ δὲ Ἰωάννης ἔφη· Πρῶτον ἐν τῷ τῆς Ἀρτέμιδος ναῷ πορευθῶμεν. τάχα γὰρ κἀκεῖ ἡμῶν ὀφθέντων εὑρεθη σονται τοῦ κυρίου οἱ δοῦλοι.

38 Ἦν οὖν μετὰ δύο ἡμέρας ἡ γενέθλιος τοῦ εἰδωλείου. ὁ ουν Ἰωάννης πάντων λευκοφορούντων μόνος ἐνδυσάμενος μέλανα ἀνῄει εἰς τὸν ναόν· οἳ δὲ συλλαβόμενοι αὐτὸν ἀνελεῖν ἐπειρῶντο. ὁ δὲ Ἰωάννης ἔφη· Μεμήνατε ἐπιχειροῦντες ἐμοὶ ἄνθρες δοῦλοι τοῦ μόνου θεοῦ. Καὶ ἀνελθών ἐπί τινα βάσιν ὑψηλὴν ἔλεγε πρὸς αὐτούς·

39 Κινδυνεύετε ἄνδρες Ἐφέσιοι θαλάσσης ἐπέχειν τρόπον. πᾶς ποταμὸς ἀπορρέων καὶ πάσα πηγὴ κατατρέχουσα, ὄμβρον τε καὶ ἐπάλληλοι κλύδωνες καὶ χειμάρροι πετρώδεις ὑπὸ τῆς ἐν αὐτῇ πικρᾶς ἐπαγγελίας συνεξαλμυροῦνται· οὕτω καὶ ὑμεῖς ἀμετάθετοι ἕως σήμερον πρὸς τὴν ὄντως εὐσέβειαν γεγόνατε ὑποφθειρόμενοι ἐν τοῖς παλαιοῖς ὑμῶν θρησκεύμασι. πόσα εἴδετε δι’ ἐμοῦ τεράστια, ἰάσεις νόσων; καὶ ἔτι πεπήρωσθε τὰς καρδίας καὶ οὐ δύνασθε ἀναβλέψαι. τί οὖν ἐστιν ἄνδρες Ἐφέσιοι; τολμήσας νῦν ἀνῆλθον καὶ εἰς τοῦτο ὑμῶν τὸ εἰδωλεῖον, διελέγξω ὑμᾶς ἀθεωτάτους ὄντας καὶ νεκροὺς τῶν ἀνθρωπίνων λογισμῶν. ἰδσὺ ἕστηκα ἐνθάδε· πάντες ὑμεῖς θεὰν εἶναι λέγετε ἔχειν τὴν Ἄρτεμιν· εὔξασθε ἐν ἐκείνῃ ἵνα ἐγὼ μόνος ἀποθάνω· ἢ μόνος ἐγώ, μὴ δυναμένων ὑμῶν τοῦτο ποιῆσαι, τὸν ἴδιόν μου θεὸν ἐπικαλεσάμενος διὰ τὴν ἀπιστίαν ὑμῶν πάντας ὑμᾶς θαναταώσω.

40 Οἱ δὲ πεπειραμένοι αὐτοῦ πάλαι καὶ θεασάμενοι νεκροὺς ἐγηγερμένους ἐβόων· Μὴ οὕτως ἀνέλῃς ἡμᾶς, παρακαλοῦμέν σε Ἰωάννη· ἐπιστάμεθα οὖν ὅτι δύνῃ. Καὶ ὁ Ἰωάννης ἔφη αὐτοῖς· Εἰ οὖν μὴ θέλετε ὑμεῖς ἀποθανεῖν, ἐλεγχθήτω τὸ θρήσκευμα ὑμῶν καὶ ἐφ’ ᾧ ἐλέγχετε, ὅπως καὶ ὑμεῖς ἀποστήσησθε τῆς παλαιᾶς ὑμῶν πλάνης. νῦν γὰρ μάλιστα ἢ αὐτοὶ ἐπιστρέψατε διὰ τοῦ θεοῦ μου ἢ αὐτὸς ἀποθανοῦμαι διὰ τῆς θεᾶς ὑμῶν· εὔξομαι γὰρ ἐνώπιον ὑμῶν παρακαλέσας μου τὸν θεὸν ἐλεηθῆναι ὑμᾶς.

41 Καὶ εἰπὼν ταῦτα προσηύξατο οὕτως· Ὁ θεὸς ὁ ὑπὲρ πάντων λεγομένων θεῶν ὑπάρχων θεός· ὁ μέχρι σήμερον ἐν τῇ Ἐφεσίων πόλει ἀθετούμενος· ὁ ὑπερβαλών μου τῇ διανοίᾳ ἐλθεῖν εἰς τὸν τόπον τοῦτον ὃν οὐδέποτε ἐν νῷ εἶχον· ὁ πᾶσαν θεοσέβειαν ἐλέγξας διὰ τῆς σῆς ἐπιστροφῆς· οὗ ὀνόματι πᾶν εἴδωλον φεύγει καὶ πᾶς δαίμων δύναμίς τε καὶ πᾶσα ἀκάθαρτος· καὶ νῦν φεύγων τῷ ὀνόματι τῷ σῷ τοῦ ἐνθάδε δαίμονος, ὅστις πλανᾷ τοσοῦτον ὄχλον, δεῖξον τὸ σὸν ἔλεος ἐν τῷ τόπῳ τούτῳ, ὅτι πεπλάνηνται.

42 Καὶ ἅμα τῷ λέγειν τὸν Ἰωάννην ταῦτα ἐξαπίνης ὁ βωμὸς τῆς Ἀρτέμιδος διέστη εἰς μέρη πολλά, καὶ τὰ ἐν τῷ ναῷ ἀνακείμενα ἄφνω πάντα εἰς ἔδαφος ἔπεσε, καὶ τὸ δόξαν αὐτῷ διερράγη, ὁμοίως καὶ τῶν ξοάνων πλεῖον τῶν ἑπτά· καὶ τὸ τοῦ ναοῦ ἥμισυ κατέπεσεν, ὡς καὶ τὸν ἱερέα κατερχομένου τοῦ στυμόνος μονόπληγα ἀναιρεθῆναι. ὁ οὖν ὄχλος Ἐφεσίων ἐβόα· Εἷς θεὸς Ἰωάννου, εἷς θεὸς ὁ ἐλεῶν ἡνᾶς. ὅτι σὺ μόνος θεός, νῦν ἐπεστρέψαμεν ὁρῶντές σου τὰ θαυμάσια· ἐλέησον ἡμᾶς ὁ θεὸς ὡς θέλεις, καὶ τῆς πολλῆς πλάνης ῥῦσαι ἡμάς. Καὶ οἳ μὲν αὐτῶν ἐπ’ ὄψιν κείμενοι ἐλιτάνευον· οἳ δὲ τὰ γόνατα κλίνοντες ἐδέοντο· οἳ δὲ τὰς ἐσθῆτας διαρρήξαντες ἔκλαον· οἳ δὲ φυγεῖν ἐπειρῶντο.

43 Ὁ δὲ Ἰωάννης ἀνατείνας αὐτοῦ τὰς χεῖρας ἐπαρθεὶς τὴν ψυχὴν εἶπε πρὸς τὸν κύριον· Δόξα σοι Ἰησοῦ μου ὁ τῆς ἀληθείας μόνος θεός, ὅτι σὺ τοὺς σοὺς δούλους τέχνῃ ἀπολαμβάνεις ποικίλῃ. Καὶ τοῦτο εἰπὼν εἶπε πρὸς τὸν ὄχλον· Ἀνάστητε ἀπὸ τοῦ ἐδάφους ἄνδρες Ἐφέσοι, καὶ εὔξασθε τῷ θεῷ μου, καὶ γνῶτε αὐτοῦ τὴν ἀφανῆ δύναμιν εἰς τὸ φανερὸν ὁρωμένην καὶ τὰ θαυμαστά ἔργα παῤ ὀφθαλμοῖς ὑμῶν γινόμενα. ἔδει τὴν Ἄρτεμιν βοηθῆσαι αὐτήν· ἔδει τὸν ταύτης δοῦλον βοηθηθῆναι παῤ αὐτῆς καὶ μὴ ἀποθανεῖν. ποῦ ἡ δύναμις τῆς δαίμονος; ποῦ αἱ θυσίαι; ποῦ αἱ γενίθλιαι ἡμέραι; ποῦ αἱ ἑορταί; ποῦ τὰ στεφανώματα; ποῦ ἡ πολλὴ μαγεία καὶ ἡ ταύτῃ ἀδελφὴ φαρνακεία;

44 Οἱ δὲ ὄχλοι ἀναστάντες τοῦ ἐδάφους πορευθέντες δρομαῖοι καὶ τὰ λοιπὰ τοῦ εἰδωλείου κατέβαλον βοῶντες· Τὸν Ἰωάννου θεὸν μόνον οἴδαμεν, ὃν καὶ λοιπὸν προσκυνοῦμεν ἐλεηθέντες ὑπ’ αὐτοῦ. Καὶ καταβαίνοντος ἐκεῖθεν τοῦ Ἰωάννου πολὺ πλῆθος αὐτοῦ ἥπτετο λέγοντες· Βοήθησον ἡμῖν Ἰωάννη· παράστα ἡμῖν ἀπολλυμένοις ματαίοις. ὁρᾷς τὴν προαίρεσιν· ὁρᾷς τὸν ἀκολουθοῦντά σοι ὄχλον ἀποκρεμάμενον ἐλπίδι τῇ πρὸς τὸν θεόν σου· εἴδομεν τὴν ὁδὸν ἣν ἐπλανήθημεν ἀπολέσαντες· εἴδομεν τοὺς θεοὺς ἡμῶν ματαίως ἱδραμένους· εἴδομεν τὸν ἐν αὐτοῖς πολὺν καὶ αἰσχρὸν καταγέλωτα. ἀλλ’ ἐπίτρεπε ἡμῖν, δεόμεθά σου, παραγενομένοις εἰς τὴν οἰκίαν βοηθεῖσθαι ἀκωλύτως. δέχου ἡμᾶς τοὺς ἐν ἀπορίᾳ γεγονότας.

45 Ὁ δὲ Ἰωάννης εἶπεν αὐτοῖς· Ἄνδρες πιστεύσατε ὅτι ὑμῶν ἕνεκεν ἐν τῇ Ἐφεσίων πόλει ἔμεινα, τὴν ὁρμὴν εἰς Σμύρνην νηη ἐσχηκὼς καὶ τὰς λοιπὰς πόλεις, ὅπως καὶ οἱ ἐκεῖ δοῦλοι τοῦ Χριστοῦ ἐπιστρέψουσι πρὸς αὐτόν. ἀλλ’ ἐπειδὴ ἀνισταμένην μηδέπω ἐν ὑμῖν τελείως ἀναπεπαυμένος, μεμένηκα εὐχόμενός μου τῷ θεῷ, καὶ παρεκάλουν αὐτὸν τότε ἐξελθεῖν Ἐφέσου ὁπόταν ὑμᾶς στηρίξω· ὃ καὶ ἰδὼν

γεγονὼς καὶ ἔτι μᾶλλον γινόμενος οὐκ ἀπολειφθήσομαι ὑμῶν μέχρις ἂν καθάπερ παῖδας τοῦ τῆς τροφοῦ γάλακτος ἀποσπάσω καὶ ἐπὶ στερεὰν πέτραν καταστήσω.

46 Ἐπέμενεν οὖν ὁ Ἰωάννης παῤ αὐτοῖς εἰσδεχόμενος αὐτοὺς τοῖς ἐν τοῖς Ἀνδρονίκου. ἐν οἷς τις τῶν συνεδρευόντων καὶ τὸν τῆς Ἀρτέμιδος ἱερέα πρὸ τοῦ ἱεροῦ τοῦ πυλῶνος ἀναπαύσας νεκρὸν εἰσεπήδησεν ἔνδον σὺν τοῖς λοιποῖς μηδενὶ εἰπών, συγγενὴς αὐτοῦ ὑπάρχων. ὁ οὖν Ἰωάννης μετὰ τὴν ὁμιλίαν τὴν πρὸς τοὺς ἀδελφοὺς καὶ τὴν εὐχὴν καὶ τὴν εὐχαριστίαν καὶ μετὰ τὴν χειροθεσίαν τὴν ἐφ’ ἑκάστου τῶν συνεδρευόντων ποιησάμενος ἔφη ἐν τῷ πνεύματι· Ἐπὶ ταύτης τῶν ἐνθάδε πίστει τῇ εἰς θεὸν ἀγόμενος, τὸν τῆς Ἀρτέμιδος ἱερέα πρὸ τοῖ πυλῶνος ἀναπαύσας εἰσῆλθεν, τῷ τῆς ψυχῆς τῆς ἑαυτοῦ πόθῳ πρότερον τὴν ἑαυτοῦ ἐπιμέλειαν ποιούμενος ἐνεθυμήθη τοῦτο ἐν ἑαυτῷ· Ἄμεινον ἐμὲ τοῦ ζῶντος φροντίζειν ἢ τοῦ νεκροῦ μου συγγενοῦς· οἶδα γὰρ ὅτι ἐπιστρέψαντός μου πρὸς κύριον καὶ διασώσαντος τὴν ἐμαυτοῦ ψυχὴν οὐκ ἀντερεῖ ὁ Ἰωάννης καὶ τὸν νεκρὸν ἀναστῆσαι. Καὶ ἀναστὰς τοῦ τόπου ὁ Ἰωάννης ἐπορεύθη κατ’ ἐκεῖνον καθ᾽ ὃν ὁ ταῦτα ἐννοήσας εἰσῆλθε συγγενὴς τοῦ ἱερέως, καὶ λαβόμενος αὐτοῦ τῆς χειρὸς εἶπεν· Ἐνεθυμήθης ταῦτα παραγενόμενος πρός με τέκνον; Κἀκείνῳ τρόμῳ καὶ φρίκῃ συνεχόμενος εἶπε Ναὶ κύριε, ῥίψας ἑαυτὸν εἰς τοὺς πόδας αὐτοῦ. Καὶ ὁ Ἰωάννης· Ὁ κύριος ἡμῶν ἐστιν Ἰησοῦς Χριστός, ὅστις τὴν δύναμιν αὐτοῦ δείξει ἐν τῷ νεκρῷ σου συγγενεῖ ὁ ἀναστήσας αὐτόν.

47 Καὶ ἀναστήσας τὸν νεανίσκον καὶ τῆς χειρὸς αὐτοῦ λαβόμενος εἶπεν· Οὐκ ἔστι μέγας ἀνδρὶ μεγάλων μυστηρίων κρατούντων ἔτι ἐν τοῖς μικροῖς κατατρίβεσθαι. ἢ τί μέγα νόσοις νόσους σωματικὰς ἀπαλλάττεσθαι; Καὶ ἔτι τὸν νεανίσκον ἐκ τῆς χειρὸς κρατῶν ἔφη· Σοὶ λέγω τέκνον, πορευθεὶς αὐτὸς τὸν τεθνεῶτα ἔγειρον μηδὲν εἰπὼν ἢ τοῦτο μόνον· Λέγει σοι ὁ τοῦ θεοῦ δοῦλος Ἰωάννης· Ἀνάστα. Ὁ δὲ νιανίσκος πορευθεὶς ἐπὶ τὸν ἴδιον συγγενῆ μόνον τοῦτο εἰπὼν συνόντος αὐτοῦ ὄχλου πολλοῦ, ἔχων αὐτὸν ζῶντα εἰσῆλθεν εἰς τὸν Ἰωάννην. ὁ δὲ Ἰωάννης ἰδὼν τὸν ἐγηγερμένον εἶπε· Νῦν ἀναστὰς οὐ ζῇς ὄντως οὐδὲ τῆς ἀληθινῆς ζωῆς κοινωνὸς καὶ κληρονόμος· βούλει γενέσθαι οὗ ὀνόματι καὶ δυνάμει ἀνέστης; καὶ νῦν πίστευσον, καὶ ζήσεις εἰς ἅπαντας αἰῶνας. Ὃ δὲ αὐτόθε πιστεύσας ἐπὶ τὸν κύριον Ἰησοῦν ἦν λοιπὸν προσκαρτερῶν τῷ Ἰωάννῃ.

48 Τῇ δὲ ἑξῆς ἡμέρᾳ ὄναρ θεασάμενος ὁ Ἰωάννης μίλια τρία ἔξω πυλῶν περιπατῆσαι, οὐκ ἠμέλησεν, ἀλλ᾽ ὄρθρου ἀναστὰς ἅμα τοῖς ἀδελφοῖς ἐπὶ τὴν ὁδὸν ἐβάδιζε. καί τις χωρικὸς νουθετούμενος ὑπὸ τοῦ ἰδίου πατρὸς ὅπως τὴν τοῦ συνεργοῦ γυναῖκα μὴ λάβῃ ἑαυτῷ, ἀπειλοῦντος ἑαυτῷ σφάξαι ἐκείνου, ὁ νεανίσκος μὴ φέρων τὴν νουθεσίαν τοῦ πατρὸς λακτίσας αὐτὸν ἄφωνον ἔθηκεν. ἰδὼν δὲ τὸ συμβὰν ὁ᾽ Ἰωάννης εἶπε πρὸς τὸν κύριον· Κύριε, τούτου με ἕνεκεν ἐκέλευσας σήμερον ἐνθάδε ἐξελθεῖν;

49 Ὁ δὲ νεανίσκος ἰδὼν τὸ ὀξὺ τοῦ θανάτου, προσδοκῶν συλληφθῆναι, σπασάμενος ὃ ἦν ἐν τῇ ζώνῃ αὐτοῦ δρέπανον ὁρμᾷ εἰς τὴν ἑαυτοῦ ἔπαυλιν δρομαίως· καὶ ὁ Ἰωάννης ἀπαντήσας αὐτῷ ἔφη· Στῆθι σὺ δαῖμον ἀναιδέστατε,

καὶ λέγε μοι ποῦ τὴν ὁρμὴν ἔχων φέρεις δρέπανον αἵματος ὀρεγόμενον. Καὶ ὁ νεανίσκος ταραχθεὶς καὶ τὸ σίδηρον εἰς γῆν ἀφεὶς εἶπεν αὐτῷ· Ἄθλιόν τι καὶ ἀπάνθρωπον διαπραξάμενος, καὶ ἐπιστάμενος, βιαιότερον τὸ κακὸν ἔκρινα πρᾶξαι καὶ ὠμότερον ἑαυτόν, ἀποθανεῖν ἅπαξ. τοῦ γὰρ πατρὸς ἀεὶ σωφρονίζοντός με ἀμοίχευτον βίον ἔχειν καὶ σεπτόν, νὴ φέρων αὐτὸν διελέγχοντά με λακτίσας αὐτὸν ἀπέκτεινα, καὶ ἰδὼν τὸ συμβὰν ἔσπευδον πρὸς τὴν γυναῖκα δι’ ἣν πατρὸς γέγονα φονεύς, καὶ αὐτὴν σφάξαι πειρώμενος καὶ τὸν ἄνδρα αὐτῆς καὶ ἐμαυτὸν ὕστερον πάντων, μὴ ὑποφέρων ὁραθῆναι τῷ τῆς γυναικὸς ἀνδρί, δίκην θανάτου ὑπομένων.

50 Καὶ ὁ Ἰωάννης εἶπεν αὐτῷ· Ἵνα μὴ τόπον δῶ τῷ ἐν σοὶ θέλοντι γελᾶν καὶ παίζειν ὑποχωρήσας καὶ παριδὼν ὑμᾶς κινδυνεύοντας, ἐλθὲ σὺν ἐμοὶ καὶ τὸν πατέρα σου δεῖξόν μοι ποῦ ἐστι κείμενος. καὶ ἐάν σοι αὐτὸν ἀναστήσω, ἀποστήσω ἔτι τῆς ἐπισφαλοῦς σοι γενομένης γυναικός; Ὁ δὲ νεανίσκος εἶπεν· Ἐὰν ζῶντά μοι αὐτὸν τὸν πατέρα μου ἀναστήσῃς, καὶ ὄψομαι αὐτὸν ὅλον διαλεγόμενον ἐν τῷ βίῳ, ἀποστήσομαι τοῦ λοιποῦ.

51 Καὶ ὡς ταῦτα ἔλεγεν, ἐπέστησαν τῷ τόπῳ λέγοντες ἔνθα ἔκειτο ὁ πρεσβύτης νεκρός, καὶ παροδιτῶν πλειόνων παρεστώτων τῷ τόπῳ. Ὁ δὲ Ἰωάννης ἔφη τῷ νεωτέρῳ· Ταλαίπωρε, οὐδὲ τὸ γῆρας ἐφείσω τοῦ πατρός σου; Ὁ δὲ κλαίων καὶ κατατιλλόμενος ἐπὶ τούτῳ μετεγνωκέναι ἔλεγεν· ὁ δὲ τοῦ κυρίου δοῦλος Ἰωάννης εἶπεν· Ὁ ἐμφανίσας μοι σήμερον στείλασθαι εἰς τὸν τόπον τοῦτον, ὁ ἐπιστάμενος ὅτι τοῦτο ἤμελλε γίνεσθαι, ὃν μηδὲ λαθεῖν δύναται τῶν ἐν τῷ βίῳ πράξεων, ὅπως ἂν θεραπείαν καὶ ἴασιν παρεχόμενός μοι θελήματι τῷ σῷ· καὶ νῦν παράσχου τὸν πρεσβύτην ζῶντα, ὁρῶν τὸν φονέαν ἑαυτοῦ δικαστὴν γενόμενον· καὶ φεῖσαι αὐτοῦ μόνος σὺ κύριε ἀφειδήσαντῶ πατρὸς συμβουλεύεσθαι αὐτῷ τὰ ἄριστα.

52 Καὶ ταῦτα εἰπὼν προσελθὼν τῷ γέροντι εἶπεν· Οὐκ ἀτονήσει μου ὁ κύριος καὶ μέχρι σοῦ τὸ χρηστὸν ἔλεος καὶ τὰ ἀνυπερήφανα σπλάγχνα ἁπλῶσαι· ἀναστὰς οὖν δὸς τοῦ ἐπιχείρου γεγενημένου ἔργου δόξαν τῷ θεῷ. Καὶ ὁ γέρων εἶπεν· Ἀνίσταμαι κύριε. Καὶ ἀνέστη. ὃς ἀνακαθίσας ἔφη· Ἀπηλλαγμένον με βίου δεινοτάτου καὶ ὕβρεις υἱοῦ ἐπιφέροντα δεινὰς καὶ πολλὰς, καὶ φιλοστοργίαν μετεκαλέσω ἄνθρωπε τοῦ θεοῦ τοῦ ζῶντος ἐπὶ τίνι; ἐπὶ τοῖς αὐτοῖς ἀνίστασαι, ἔδει σε μᾶλλον τεθνάναι· ἀλλ’ ἐπὶ κρείττοσιν ἔγειραι. Καὶ παραλαβὼν αὐτὸν εἰσήγαγεν εἰς τὴν πόλιν εὐαγγελιζόμενος αὐτῷ τὴν χάριν τοῦ θεοῦ, ὡς πρὶν ἐπιβῆναι τῇ πύλῃ τὸν πρεσβύτην πιστεῦσαι.

53 Ὁ δὲ νεανίσκος θεασάμενος τὴν ἀπροσδόκητον τοῦ πατρὸς ἀνάστασιν καὶ τὴν ἑαυτοῦ σωτηρίαν, λαβὼν δρέπανον τὰ ἑαυτοῦ μόρια ἀφείλατο, καὶ δραμὼν εἰς τὴν οἰκίαν ἐν ᾗ τὴν μοιχαλίδα εἶχεν, εἰς ὄψιν αὐτῆς προσέρριψεν εἰπών· Διὰ σὲ πατρὸς φονεὺς καὶ ὑμῶν τῶν δύο καὶ ἐμαυτοῦ ἐγενόμην. ἔχεις τὰ τούτῳ ὅμοια καὶ αἴτια. ἐμὲ γὰρ ὁ θεὸς ἠλέησεν ἐπιγνῶναι αὐτοῦ τὴν δύναμιν.

54 Καὶ ἀνελθὼν ἀνήγγειλε τῷ Ἰωάννῃ ἔμπροσθεν τῶν ἀδελφῶν τὸ ὑπ᾽ αὐτοῦ πραχθέν. ὁ δὲ Ἰωάννης εἶπεν αὐτῷ· Ὁ ὑποβαλών σοι νεανίσκε τὸν πατέρα σου ἀποκτεῖναι καὶ μοιχὸν ἀλλοτρίας γυναικὸς γενέσθαι, οὗτός σοι ὡς δίκαιον ἔργον καὶ τὸ ἀφελεῖν τὰ ἄκαιρα ἐποίησεν. ἔδει δέ σε οὐχὶ τοὺς τόπους ἀφανίσαι, ἀλλὰ τὴν ἔννοιαν, ἥτις διὰ τῶν μορίων ἐκείνων ἐδείκνυτο χαλεπαίνουσα· οὐ γὰρ τὰ ὄργανά ἐστι βλαπτικὰ τῷ ἀνθρώπῳ ἀλλ᾽ αἱ ἀφανεῖς πηγαὶ δι᾽ ὧν πᾶσα κίνησις αἰσχρὰ κινεῖται καὶ εἰς τὸ φανερὸν πρόεισιν. μετεγνωκὼς οὖν τέκνον ἐπὶ τῇ τοιαύτῃ αἰτίᾳ καὶ καταμαθὼν τὰς τοῦ Σατανᾶ τέχνας ἔχεις τὸν θεὸν βοηθοῦντά σοι εἰς πάντα τὰ τῆς ψυχῆς σου ἐγχειρίζοντα. Ὁ δὲ νεανίσκος ἡσυχάζων προσεκαρτέρει μετεγνωκὼς ἐπὶ τοῖς προτέροις ἁμαρτήμασιν ὅπως ἀφέσεως τύχῃ παρὰ τῆς τοῦ θεοῦ χρηστότητος· καὶ οὐκ ἐχωρίζετο τοῦ Ἰωάννου.

55 Τούτων οὖν γινομένων ὑπ᾽ αὐτοῦ ἐν τῇ Ἐφεσίων πόλει Σμυρναῖοι διεπέμψαντο πρὸς αὐτὸν πρέσβεις λέγοντας· Ἀκούομεν ὃν κηρύσσεις θεὸν ἄφθονός ἐστι καὶ διετάξατό σοι μὴ ἐμφιλοχωρεῖν ἐν ἑνὶ τόπῳ. ὡς οὖν θεοῦ τοιούτου κῆρυξ ὑπάρχεις, ἐλθὲ εἰς τὴν Σμύρναν καὶ εἰς τὰς λοιπὰς πόλεις, ἵνα σου τὸν θεὸν ἐπιγνῶμεν, καὶ ἐπιγνόντες αὐτὸν ἐν αὐτῷ τὰς ἐλπίδας ἔχωμεν.

58 Χρόνου δὲ ἱκανοῦ διελθόντος καὶ μηδενὸς τῶν ἀδελφῶν λυπηθέντος πώποτε ὑπὸ Ἰωάννου, ἐλυπήθησαν τότε εἰρηκότος αὐτοῦ· Ἀδελφοί, ἤδη με καιρὸς τὴν Ἔφεσον καταλαβεῖν· συντίθεμαι γὰρ τοῖς ἐκεῖ μένουσι, μήπως ῥᾳθυμήσωσι πολλῷ χρόνῳ μὴ ἔχοντες ἄνθρωπον τὸν ἐπιστηρίζοντα αὐτούς· εἰς δὲ τὸν θεὸν ἔχειν ὑμᾶς πάντας τὸν νοῦν, τὸν μὴ ἀπολιμπανόμενον ἡμῶν. Ἀκούοντες δὲ ταῦτα παῤ αὐτοῦ οἱ ἀδελφοὶ ἐπένθουν, ἐπειδὴ αὐτοῦ ἐχωρίζοντο. καὶ ὁ Ἰωάννης εἶπεν· Εἰ κἀγὼ χωρίζομαι ὑμῶν, ἀλλ᾽ ὁ Χριστὸς σὺν ὑμῖν ἐστιν ἀεί· ὃν ἐὰν καθαρῶς φιλῆτε, ἀνεπίλειπτον ἕξετε τὴν ἀπ᾽ αὐτοῦ κοινωνίαν· φιλούμενος γὰρ φθάνει τοὺς φιλοῦντας αὐτόν.

59 Καὶ ταῦτα εἰπὼν καὶ συνταξάμενος αὐτοῖς, καταλιπών τε πολλὰ χρήματα τοῖς ἀδελφοῖς εἰς διάδοσιν, πενθούντων ἁπάντων τῶν ἀδελφῶν καὶ στεναζόντων ἐξῆλθεν εἰς Ἔφεσον. συνῄεσαν δὲ αὐτῷ ἐκ τῆς Ἐφέσου Ἀνδρόνικός τε καὶ Δρουσιανή, καὶ οἱ περὶ τὸν Λυκομήδην καὶ Κλεόβιον. ἠκολούθησαν δὲ αὐτῷ καὶ Ἀριστοβούλα, ἐγνωκυῖα τὸν ἄνδρα αὐτῆς Τέρτυλλον ἐν τῇ ὁδῷ τεθνάναι, Ἀρίστιππος δὲ ἅμα τῷ Ξενοφῶντι, καὶ ἡ σώφρων πόρνη, καὶ ἕτεροι πλείονες, οὓς ἑκάστοτε προέτρεπεν ἐπὶ τὸν κύριον, καὶ μηκέτι βουλόμενοι χαωρίζεσθαι αὐτοῦ.

60 Καταχθέντων δὲ ἡμῶν ἔν τινι πανθοχείῳ ἐρήμῳ τὴν πρώτην ἡμέραν, καὶ ἀπορούντων κραββάτου ἕνεκεν Ἰωάννου, παίγνιον εἴδομεν. εἷς τις ἦν ἐκεῖ ἄστρωτος κράββατος κείμενος ἔν τινι τόπῳ, ἐφ᾽ ᾧ ἃ ἐπεφερόμεθα περιβόλαια στρώσαντες παρεκαλέσαμεν αὐτὸν ἀναπεσόντα ἐν αὐτῷ ἀναπαυθῆναι, τῶν λοιπῶν ἁπάντων ἐπὶ τοῦ ἐδάφους ὑπνωσάντων. κατακλιθεὶς οὖν ὑπὸ τῶν κορίων διωχλεῖτο· καὶ ὡς ἐπὶ πλεῖον αὐτῷ ὀχληρότεροι ἐγίνοντο, ἤδη τῆς νυκτὸς τὸ μέσον καταλαβούσης, ἀκουόντων πάντων ἡμῶν ἔφη αὐτοῖς· Ὑμῖν λέγω ὦ κόραι, εὐγνωμονήσατε σὺν ἐνὶ πάντες, καὶ καταλιπόντες τὴν νύκτα ταύτην τὸν οἶκον

ὑμῶν ἡσυχάσατε ἐν ἑνὶ τόπῳ, καὶ ἔστε πόρρω τῶν δούλων τοῦ θεοῦ. Καὶ ἡμῶν γελώντων καὶ ἐπὶ πλέον ὁμλούντων ὁ Ἰωάννης εἰς ὕπνον ἐτράπετο· αὐτοὶ δὲ ἡρέμα λαλοῦντες ἀδιόχλητοι αὐτῷ ἐγινόμεθα.

61 Ἡμέρας δὲ ἐπιφαυούσης ἤδη φθάσας ἀνίσταμαι καὶ σὺν ἐμοὶ Βῆρος καὶ Ἀνδρόνικος· καὶ ὁρῶμεν πρὸς τὴν θύραν τοῦ οἰκήματος οὗ εἰλήφαμεν πλεονασμὸν κορίων ἑστῶτα· ἐξεστηκότων δὲ ἡμῶν ἐπὶ τῇ πολλῇ θέᾳ αὐτῶν, καὶ τῶν ἀδελφῶν πάντων ἐγηγερμένων δι᾽ αὐτούς, ὁ Ἰωάννης ἐκάθευδεν. καὶ μετὰ τὸ διυπνισθῆναι αὐτὸν ἐνεφανίσαμεν αὐτὸν ἃ εἴδομεν· αὐτὸς δὲ ἀνακαθίσας τοῦ κραββάτου καὶ θεασάμενος αὐτοὺς εἶπεν· Ἐπειδὴ εὐγνωμονήσατε φυλάξαντές μου τὸ ἐπιτίμιον, ἔλθετε εἰς τὸν τόπον ὑμῶν. Καὶ εἰπόντος τοῦτο καὶ ἀναστάντος ἐκ τοῦ κραββάτου οἱ κόρεις δρομαῖοι ἀπὸ τῆς θύρας ἔσπευδον εἰς τὸν κράββατον καὶ διὰ τῶν αὐτοῦ ποδῶν ἀνελθόντες εἰς τὰς ἁρμογὰς ἀφανεῖς ἐγένοντο. καὶ ὁ Ἰωάννης πάλιν ἔφη· Τὸ μὲν ζῷον τοῦτο φωνὴν ἀνθρώπου ἀκοῦσαν ἔμεινε παῤ ἑαυτῷ ἠρεμῆσαν καὶ μὴ παραβάν· ἡμεῖς δὲ φωνὴν θεοῦ ἀκούοντες καὶ ἐντολῶν παρακούομεν καὶ ῥᾳθυμοῦμεν· καὶ μέχρι πότε;

62 Μετὰ δὲ ταῦτα γινόμεθα εἰς τὴν Ἔφεσον· καὶ οἱ ἐκεῖ ἀδελφοὶ ἐγνωκότες διὰ χρόνου ἱκανοῦ τὸν Ἰωάννην ἀφικόμενον συνέτρεχον ἐν τοῖς Ἀνδρονίκου, ἔνθα καὶ κατήγετο, τῶν ποδῶν αὐτοῦ ἁπτόμενοι, καὶ τὰς χεῖρας αὐτοῦ εἰς τὰ ἴδια πρόσωπα τιθέντες ἐφίλουν αὐτάς, ὡς ὅτι κἂν ἥψαντο τῶν ἐκείνου ἐνδυμάτων.

63 Καὶ πολλῆς ἀγάπης οὔσης καὶ χαρᾶς ἀνυπερβλήτου ἐν τοῖς ἀδελφοῖς, εἷς τις ἐπίπεμπτος τοῦ Σατανᾶ ἐρᾷ τῆς Λρουσιανῆς, ὁρῶν καὶ ἐπιστάμενος τοῦ Ἀνδρονίκου ταύτην εἶναι γυναῖκα· ᾧ οἱ πλείονες ἔλεγον· Ἀδύνατόν σε τυχεῖν ταύτης τῆς γυναικός, ἐκ πολλοῦ καὶ τοῦ ἀνδρὸς κεχωρισμένης αὐτῆς διὰ θεοσέβειαν. σὺ μόνος ἀγνοεῖς ὅτι μὴ πρὶν ὢν ὁ Ἀνδρόνικος τοῦτο ὅπερ ἐστὶ νῦν, θεοσεβὴς ἀνύρ, κατέκλεισεν αὐτὴν εἴς τι μνημεῖον λέγων· Ἤ γυναῖκά σε ἔχω ἔχειν ἣν εἶχον πάλαι, ἢ τεθνήξῃ· Καὶ εἵλατο μᾶλλον ἀποθανεῖν ἢ τὸ μύσος ἐκεῖνο διαπράξασθαι· εἰ οὖν δεσπότῃ αὐτῆς καὶ ἀνδρὶ μὴ συνέθετο πρὸς συνέλευσιν διὰ θεοσέβειαν, ἀλλὰ καὶ ἔπεισε τὰ ἴσα τοῦτον φρονῆσαι, σοὶ μοιχῷ αὐτῇ θέλοντι γενέσθαι συνθήσεται; ἀπόστηθι μανίας μὴ ἐχούσης ἐν σοὶ ἀνάπαυσιν· ἀπόστηθι πράγματος ᾧ τέλος ἐπαγαγεῖν οὐ δύνασαι.

64 Καὶ λέγοντες πρὸς αὐτὸν ταῦτα οἱ συνήθεις αὐτοῦ φίλοι οὐκ ἔπεισαν αὐτόν, ἀλλ᾽ ἀναίδειαν χρησάμενος προσέπεμψεν αὐτήν· καὶ γνοὺς τὰς παῤ ἐκείνης ἀτιμίας καὶ ὕβρεις ἐν ἀθυμίᾳ διῆγεν αὐτοῦ τὸν βίον. μετὰ δὲ ἡμέρας δύο κατακλιθεῖσα ἡ Δρουσιανὴ ἀπὸ τῆς ἀθυμίας ἐπύρεττε λέγουσα· Εἴθε μηδέπω εἰς τὴν ἐμαυτῆς πατρίδα εἰσεληλύθειν ἡ σκάνδαλον γενομένη ἀνδρὶ ἀμυήτῳ θεοσεβείας· εἰ γὰρ ἦν τις ὑπὸ λόγων πεπληγώς, οὐκ ἂν εἰς τοσοῦτον ἐληλύθειν μανίας. ἀλλ᾽ οὖν κύριε παραιτίας μου γενομένης πλύξεως ἰδιωτιζούσῃ ψυχῇ, ἀπόλυσόν με τοῦ δεσμοῦ τούτου, ἐπὶ δὲ σὲ μετάστησον τάχιον. Καὶ παρόντος Ἰωάννου, μηδενὸς ὅλως ἐγνωκότος τὸ τοιοῦτον, ἀπαλλάσσεται τοῦ βίου ἡ

Δρουσιανή, οὐ πάνυ ἡδομένη ἀλλὰ καὶ λυπουμένη διὰ τὴν ἐκείνου ψυχικὴν θραῦσιν.

65 Ὁ δὲ Ἀνδρόνικος λυπούμενος λύπην ἀπόκρυφον ἐπένθει τῇ ψυχῇ, καὶ φανερῶς δὲ ἔκλαιεν, ὡς τὸν Ἰωάννην πολλὰ ἐπιστομίζειν καὶ λέγειν αὐτῷ· Ἐπὲ βελτίονι ἐλπίδι μετῆλθεν Δρουσιανὴ τοῦτον τὸν βίον τὸν ἄδικον. Καὶ ὁ Ἀνδρόνικος αὐτῷ ἀπεκρίνατο· Καὶ πέπεισμαι ὦ Ἰωάννη καὶ οὐκ ἀμφιβάλλω ὅλως περὶ τῆς εἰς τὸν θεόν μου πίστεως· ἀλλὰ μάλιστα τοῦτο αὐτὸ κρατύνω ὅτι καθαρῶς τοῦ βίου ἀνέλυσεν.

66 Ἐκκομισθείσης δὲ αὐτῆς ἐπιλαβόμενος ὁ Ἰνάννης τοῦ Ἀνδρονίκου καὶ ἐγνωκώς τὴν αἰτίαν μᾶλλον ἐπένθει τοῦ Ἀνδρονίκου· καὶ ἡσύχαζεν ἀφορῶν εἰς τὰς ἐπηρείας τοῦ ἀλλοτρίου, ἐπ’ ὀλίγον καθεσθείς· εἶτα τῶν ἀδελφῶν ἐπισυλλεγέντων ὑπὲρ τοῦ ἀκοῦσαι τίνας λόγους ἐρεῖ πρὸς τὴν ἀπηλλαγμένην, καὶ ἤ ρξατο λέγειν·

67 Ὁ κυβερνήτης ναυτιλλόμενος ἅμα τοῖς ἐμπλέουσι καὶ αὐτῇ τῇ νηὶ ὁπηνίκα ἂν καταχθῇ εἰς εὔδιον καὶ ἀχείμαστον λιμένα τηνικαῦτα φασκέτω σεσῶσθαι. καὶ ὁ γεωργὸς παραδοὺς τῇ γῇ τὰ σπέρματα καὶ πολλὰ καμὼν ἐπὶ τὴν τούτων ἐπιμέλειαν καὶ φρουράν, τότε τῶν πόνων τὴν ἀνάπαυλαν ἔχεται ὁπόταν ἐν ταῖς ἀποθήκαις ἀποθῆται τὰ σπέρματα πολλαπλασίονα. ὁ ἐν σταδίῳ δρόμον ὑπισχνούμενος τότε ἀγαλλέσθω ὁπόταν τὸ βραβεῖον. κομίσηται. ὁ πυκτικὴν ἀπογεγραμμένος τότε καυχάσθω ὅταν τοὺς στεφάνους δέξηται. καὶ τὰ ἑξῆς ἅπαντα ἀγωνίσματα καὶ αἱ τέχναι, ὁπόταν ἐν τῷ τέλει μὴ ἔρημοι ὦσιν, ἀλλὰ δεικνύωνται ἐκείνοις πρὸς ἅπερ ἐπηγγέλλοντο.

68 τὸ αὐτὸ δὲ ἡγοῦμαι ὑπάρχειν καὶ πρὸς ἣν ἕκαστος ἡμῶν ἀσκεῖ πίστιν· τότε ταύτην ἐκκρίνεσθαι εἰ ἄρα ἀληθής, ὁπόταν μέχρις ἔξω τοῦ βίου ὁμαλισθῇ. πολλὰ γὰρ ἐμπόδια παρεμπίπτει καὶ θόρυβον παρασκευάζει τῷ ἀνθρωπίνῳ λογισμῷ· μέριμνα, παῖδες, γονεῖς, δόξα, πενία, κολακεία, ἀκμή, κάλλος, ἀλαζονεία, ἐπιθυμία, πλοῦτος, ὀργή, ἔπαρσις, ῥᾳθυμία, φθόνος, πλοῦτος, ζῆλος, ἀμέλεια, ὕβρις, ἔρως, δόλος, χρήματα, πρόφασις, καὶ ἄλλα ὁπόσα ἐστὶν ἐν τῷ βίῳ τοιαῦτα ἐμπόδια, ὡς καὶ τῷ κυβερνήτῃ ρερομένῳ εὐδίῳ δρόμῳ ἐναντιοῦται πνευμέτων ἐναντίων ἐπιβολὴ καὶ χειμὼν μέγας καὶ τρικυμία ἐξ εὐδίας, καὶ τῷ γεωργῷ χειμὼν ἄωρος καὶ ἐρυσίβη καὶ ἑρπετὰ ἐκ τῆς γῆς ἀναφανέντα, καὶ τοῖς ἀγωνισταῖς τὸ παρὰ μικρόν, καὶ τοῖς τὰς τέχνας μετιοῦσι τὸ παῤ ἐκείνων.

69 χρὴ δὲ πρὸ τῶν ἄλλων ἁπάντων τὸν πιστὸν ἄνθρωπον τὴν ἔξοδον προορᾶν, καὶ καταμανθάνειν ταύτην ὁποία τις ἐπιστή σεται, ἆρα διεργὴς καὶ νηφαλέα καὶ μηδὲν ἐμπόδιον ἔχουσα, ἢ τεθορυβημένη καὶ τὰ ὧδε κολακεύουσα καὶ καταδεδεμένη ἐπιθυμίαις. οὕτως ἔστιν ἐπαινεῖσθαι καὶ σῶμα εὔμορφον ὁπόταν ὅλον ἀποδύσηται, καὶ στρατηγὸν μέγαν ὁπόταν τὸ τοῦ πολέμου ἐπάγγελμα πᾶν κατορθ ώσῃ, καὶ ἰατρὸν ἄριστον ἐκεῖνον τὸν διὰ πάσης ἰάσεως χωροῦντα, καὶ ψυχὴν πίστεως καὶ θεοῦ δεξιὰν ὁπόταν ἴσον τὸ τῆς ἐπαγγελίας καταστήσῃ οὐχὶ τὴν ἀρξαμένην καὶ ὑπολυθεῖσαν εἰς τὰ τοῦ βίου πάντα καὶ ἐκπεσοῦσαν, οὐδὲ τὴν

ναρκῶσαν, βιαζομένην πρὸς τοῖς κρείττοσιν εἶναι, εἶτα δὲ κατενεχθεῖσαν εἰς τὰ πρόσκαιρα, οὐδὲ τὴν ποθήσασαν μᾶλλον τὰ χρόνια τῶν αἰωνίων, οὐδὲ τὴν καταλλασσομένην τὰ μὴ μένοντα, οὐδὲ τὴν τιμήσασαν τὰ ἀτιμίας ἔργα ὕβρεως ἄξια, οὐδὲ τὴν ἐνέχυρα παρὰ τοῦ Σατανᾶ λαμβάνουσαν, οὐδὲ τὴν ὑποδεξαμένην τῷ ἑαυτῆς οἴκῳ τὸν ὄφιν, οὐδὲ τὴν ὀνειδιζομένην διὰ θεόν, εἶτα μὴ αἰσχυνομένην· οὐδὲ τὴν στόματι μὲν λέγουσαν ναί, ἔργῳ δὲ ἑαυτῇ οὐ δεικνύουσα· ἀλλὰ τὴν ὑπομείνασαν ὑπὸ ἡδονῆς ῥυπαρᾶς μὴ ἐκλυθῆναι, ὑπὸ ῥᾳθυμίας μὴ ἡττηθῆναι, ὑπὸ φιλαργυρίας μηδὲ δελεασθῆναι, ὑπὸ ἀκμῆς σώματος καὶ ὀργῆς μὴ προδοθῆναι.

70 Καὶ ἔτι πλείονας λόγους ποιουμένου τοῦ Ἰωάννου πρὸς τοὺς ἀδελφοὺς, ὡς τῶν προσκαίρων ἕνεκεν τούτους καταφρονεῖν, ὁ τῆς Δρουσιανῆς ἐρῶν ἐξαφθεὶς δεινοτάτῃ ἐπιθυμίᾳ καὶ ἐνεργείᾳ τοῦ πολυμόρφου Σατανᾶ τὸν τοῦ Ἀνδρονίκου ἐπίτροπον ὄντα φιλάργυρον ὠνεῖται χρήμασιν ἱκανοῖς· ὅστις ἀνοίξας τὸν τάφον Δρουσιανῆς ἐπέτρεψε διαπράξασθαι τὸ ἀπηγορευμένον εἰς νεκρὸν σῶμα. μὴ ἐπιτυγχάνων αὐτῆς ζώσης μετὰ θάνατον τῷ σώματι προσλιπαρῶν ἀπεκρίνατο· Εἰ καὶ ζῶσα οὐκ ἠκολούθεις μοι κοινωνῆσαι, μετὰ θάνατον νεκράν σε οὖσαν ἐνυβρίσω. Τοῦτο οὖν ἐνθυμούμενος, καὶ κατασκευάσας ἑαυτῷ τὴν διὰ τοῦ μιαροῦ ἐπιτρόπου ἀσέβειαν, εἰσεπήδησεν εἰς τὸ μνῆμα σὺν ἐκείνῳ ἅμα· καὶ ἀνοίξαντες τὴν θύραν ἤρξαντο ἀποδύειν τοῦ πτώματος τὰ ἐντάφια λέγοντες· Τί ὠφέλησας ταλαίπωρε Δρουσιανή; τοῦτο ζῶσα πεποιηκέναι οὐκ ἠδύνασο, ὁ τάχα ἂν οὐδέν σε ἐλύπησεν ἑκοῦσαν τοῦτο ποιησαμένην;

71 Καὶ ταῦτα τούτων λεγόντων, καὶ μόνον ὃ σύνηθες καρκάλιον περὶ τὴν σάρκα ταύτης ἐναπομεῖναν, ξένον ὁρᾶται θέαμα ὃ παθεῖν ἄξιον τοὺς ταῦτα δρῶντας· ὅφις ποθὲν ἐπιφανεὶς τὸν μὲν ἐπίτροπον μονόπληγα τίθησιν· ὃν καὶ ἀνεῖλεν· ἐκεῖνον δὲ τὸν νεανίσκον οὐ τύπτει, ἀλλὰ τοῖς ποσὶν αὐτοῦ περιειλεῖτο δεινῶς ἀποφυσῶν, καὶ πεσόντος αὐτοῦ ἐπαναβὰς ὁ ὄφις ἐπάνω αὐτοῦ ἐκαθέζετο.

72 Τῇ δὲ ἑξῆς ἡμέρᾳ παραγίνεται ὁ Ἰωάννης ἅμα τῷ Ἀνδρονίκῳ καὶ τοῖς ἀδελφοῖς ἐξ ἑωθινῆς εἰς τὸ μνῆμα, τρίτην ἡμέραν ἐχούσης τῆς Δρουσιανῆς, ὅπως ἄρτον κλάσωμεν ἐκεῖ. καὶ τὰ μὲν πρῶτα ἐρχομένων αὐτῶν αἱ κλεῖς οὐχ εὑρίσκοντο ζητηθεῖσαι· δὲ Ἰωάννης εἶπε πρὸς τὸν Ἀνδρόνικον· Εἰκότως ἀπώλοντο· Δρουσιανὴ γὰρ ἐν τῷ μνήματι οὐκ ἔστιν. ἀλλ᾽ ὅμως ἀπέλθωμεν, ὅπως μὴ ῥᾳθυμήσῃς, καὶ αὐτόματοι αἱ θύραι ἀνοιχθήσονται, ὡς καὶ ἄλλα πολλὰ παρέσχεν ἡμῖν ὁ κύριος.

73 Καὶ γενομένων ἡμῶν ἐν τῷ τόπῳ κελεύσει τοῦ διδασκάλου αἱ θύραι ἠνοίχθησαν, καὶ περὶ τὸν τάφον τῆς Δρουσιανῆς εἶδόν τινα νεανίσκον εὔμορφον μειδιῶντα· ὃν ἰδὼν ὁ Ἰνάννης κράξας ἔφη· Καὶ ὧδε φθάνεις ὑμᾶς ὁ καλός; τίνος χάριν ἄραι Καὶ ἀκούει φωνῆς λεγούσης αὐτῷ· Δρουσιανῆς ἕνεκεν, ἣν σὺ μέλλεις ἀναστήσειν— παρὰ βραχὺ γὰρ ἤμην εὑρὼν αὐτήν — καὶ τὸ πλησίον ἀπονεύσαντος τοῦ τάφου αὐτῆς. Καὶ εἰπὼν ταῦτα ὁ καλὸς πρὸς τὸν Ἰωάννην εἰς οὐρανοὺς ἀνῄει βλεπόντων πάντων ὑμῶν. ὁ δὲ Ἰωάννης ἐπιστραφεὶς εἰς τὸ ἕτερον μέρος τοῦ μνήματος ὁρᾷ νεανίσκον πρῶτον τῶν Ἐφεσίων Καλλίμαχον —τοῦτο γὰρ ἐκαλεῖτο— καὶ ἐπικαθεύδοντα αὐτῷ ὄφιν παμμεγέθη, καὶ τὸν ἐπίτροπον Ἀνδρονίκου,

Φουρτουνᾶτον λεγόμενον, τεθνεῶτα. καὶ ἀμφοτέρους ἰδὼν ἠπορημένος εἰστήκει λέγων πρὸς τοὺς ἀδελφούς· Τί βούλεται τὸ τοιοῦτον θέαμα; ἢ διὰ τί μοι ὁ κύριος οὐκ ἐνεφάνισε τὰ ὧδε πραχθέντα, μηδέποτέ μου ἀμελήσαντος;

74 Καὶ ὁ Ἀνδρόνικος ἰδὼν ἐκείνους νεκροὺς ἀναπηδήσας ἦλθεν ἐπὶ τὸν Δρουσιανῆς τάφον· καὶ ἰδὼν αὐτὴν ἐν μόνῳ τῷ δικρουσίῳ ἔφη τῷ Ἰωάννῃ· Συνεῖδον τὸ γεγονὸς μακάριε δοῦλε τοῦ θεοῦ Ἰωάννη· ὁ Καλλίμαχος οὗτος ἦρα τῆς ἀδελφῆς μου· καὶ μὴ ἐπιτυχὼν αὐτῆς πολλάκις τοῦτο τολμήσας, τὸν κατάρατον ἐπίτροπόν μου τοῦτον ὠνήσατο χρήμασιν ἱκανοῖς, ἴσως ἐν νῷ λαβών, ὥς γε νῦν ἔστι μαθεῖν, τὴν τῆς ἐπιβουλῆς δραματουργίαν δι᾽ αὐτοῦ μέλλειν ἐκπληροῖν· καὶ γὰρ ὡμο λόγησε τοῦτο πολλοῖς ὁ Καλλίμαχος ὅτι Κἂν μὴ ζῶσα βουληθῇ συνθέσθαι μοι, τεθνεῶσα ἐνυβρισθήσεται. Καὶ τάχα διδάσκαλε ὁ καλὸς ἐγνώρισε τὸ λείψανον αὐτῆς μὴ ὑβρισθῆναι συγχωρήσας, καὶ διὰ τοῦτο οὗτοι τεθνήκασιν οἳ ταῦτα ἐτόλμησαν. καὶ μή τοι γε ἡ φωνὴ ἡ εἰρηκυῖα πρός σε Ἀνέγειρον τὴν Δρουσιανὴν τοῦτο προεδήλου; ἐπειδὴ λύπην ἔχουσα τοῦ βίου τούτου ἀπηλλάγη. πείθομαι δὲ τῷ εἰρηκότι ὅτι τῶν πλανηθέντων οὗτος ὑπάρχει ἀνθρώπων· καὶ γὰρ αὐτὸν ἐκελεύθης ἀναστῆσαι· περὶ γὰρ τοῦ ἑτέρου οἶδα ὅτι ἀνάξιός ἐστιν ἡ ἐκείνου σωτηρία. ἀλλ᾽ ἔν σε τοῦτο παρακαλῶ· ἀνέγειρον πρῶτον τὸν Καλλίμαχον, καὶ οὗτος ἡμῖν ὁμολογήσει τὸ γεγονός.

75 Ὁ δὲ Ἰωάννης ἀπιδὼν τῷ πτώματι καὶ εἰπὼν τῷ ἰοβόλῳ ἑρπετῷ Ἀπόστηθι τοῦ μέλλοντος Ἰησοῦ Χριστῷ δουλεύειν, ἀναστὰς ἐπηύξατο οὕτως· Ὁ θεὸς οὗ τὸ ὄνομα δοξάζεται ὑφ᾽ ἡμῶν ἀξίως· ὁ θεὸς ὁ πᾶσαν ἐνέργειαν κακωτικὴν δαμάζων· ὁ θεὸς οὗ τὸ θέλημα τελειοῦται, ὁ ὑπακούων ἡμῶν πάντοτε· καὶ νῦν τελειούσθω σου ἡ δωρεὰ ἐπὶ τῷ νεανίσκῳ τούτῳ· καὶ εἴ τις δι᾽ αὐτοῦ οἰκονομία γίγνοιτο, ταύτην ἐγηγερμένου αὐτοῦ ἐμφάνισον ἡμῖν. Καὶ εὐθέως ὁ νεανίσκος ἀναστὰς ὅλην τὴν ὥραν ἡσύχαζεν.

Sections 76 to 112

76 Ὡς δὲ ἐν τῷ ἑαυτοῦ λογισμῷ ἐγένετο, ἐπύθετο αὐτοῦ ὁ Ἰωάννης τὴν ἐν τῷ μνημείῳ εἴσοδον τί ἐβούλετο· καὶ μαθὼν παῤ αὐτοῦ ἅπερ ὁ Ἀνδρόνικος εἰρήκει αὐτῷ, ὡς δῆθεν ἐρῶντος αὐτοῦ Δρουσιανῆς, ἐπύθετο αὐτοῦ ὁ Ἰωάννης πάλιν εἰ τοῦ μιαροῦ ἔσχε τέλους, ἐνυβρίσαι λειψάνου σεμνότητος γέμοντι· ὃ δὲ ἀπεκρίνατο αὐτῷ· Πῶς γὰρ ἠδυνάμην τοῦτο διαπράξασθαι; ὅπου τὸ δεινὸν τοῦτο ζῷον τὸν μὲν Φουρτουνᾶτον μονόπληγα ἔβαλεν ὁρῶντος ἐμοῦ, καὶ εἰκότως, αὐτοῦ μοι τὴν τοσαύτην μανίαν παραθαρρύνοντος ἤδη τῆς ἀκαίρου ἐκείνης καὶ δεινῆς πεπαυμένου μανίας· ἐμὲ δὲ τῷ φόβῳ ἔστησε, καὶ τοιοῦτον ἐποίησεν οἷον περὶ τοῦ ἀναστῆναί με εἴδετε. ἕτερον δέ σοι θαυμασιώτερον ἐρῶ, τὸ μᾶλλόν με ἀνελὸν καὶ νεκρὸν παρὰ μικρὸν θέμενον· ὅτε μου ἡ ψυχὴ παρεῖχεν ἔννοια καὶ ἡ ἀκατάσχετος νόσος διώχλει, ἀποσυλήσαντός μου ἤδη ἅπερ ἦν ἠμφιεσμένη ἐντάφια, εἶτα δὲ ἀποβάντος μου τοῦ τάφου καὶ θεμένου μου αὐτὰ ὡς ὁρᾷς, ἀπῆλθον πάλιν ἐπὶ τῷ ἀποτροπαίῳ ἔργῳ· καὶ ὁρῶ τινα νεανίσκον εὔμορφον περισκέποντα αὐτὴν τῷ ἑαυτοῦ ἱματίῳ· οὗ ἀπὸ τῆς ὄψεως λαμπηδόνες φωτὸς ἐξήρχοντο εἰς τὰς ὄψεις αὐτῆς· ὅστις καὶ εἰς ἐμὲ ἔδωκε φωνὴν λέγων· Καλλίμαχε ἀπόθανε ἵνα ζήσῃς. Τίς μὲν οὖν ἦν οὐκ ᾔδειν δοῦλε τοῦ θεοῦ· ὅτι δὲ σοῦ ὀφθέντος ἐνθάδε γνωρίζω ἄγγελον αὐτὸν εἶναι θεοῦ εὖ οἶδα· τοῦτο δὲ ἀληθῶς ἐπίσταμαι ὅτι ἀληθὴς θεὸς ὑπὸ σοῦ καταγγέλλεται καὶ τοῦτο πέπεισμαι. ἀλλὰ κἀγὼ σὲ παρακαλῶ μὴ ἀμελήσῃς με ἀπὸ τοιαύτης συμφορᾶς καὶ τόλμης δεινῆς ἐλευθερῶσαι καὶ παραστῆσαι τῷ θεῷ σου ἄνθρωπον ἀπατηθέντα αἰσχρᾷ καὶ μυσαρᾷ ἀπάτῃ. βοηθείας οὖν δεόμενος παρὰ σοῦ ἅπτομαί σου τῶν ποδῶν. ἄνθρωπος θέλω γενέσθαι τῶν ἐπὶ Χριστὸν ἐλπιζόντων, ὅπως καὶ ἡ φωνὴ ᾗ ἀληθὴς εἰρηκυῖά μοι ἐνθάδε· Ἀπόθανε ἵνα ζήσῃς· Ἥτις καὶ ἐτέλεσεν αὐτῆς τὴν ἐνέργεοαν· ἀπέθανε γὰρ ἐκεῖνος ὁ ἄπιστος, ὁ ἄτακτος, ὁ ἄθεος· ἐγύγερμαι δὲ ὑπὸ σοῦ ὁ μέλλων πιστός, θεοσεβής, ὁ ἀληθείας γνωρίζων, ὃν παρακαλῶ ὑπὸ σοῦ γνωρισθῆναί μοι.

77 Καὶ ὁ Ἰωάννης ἐν εὐφρασίᾳ πολλῇ ληφθεὶς καὶ καταμαθὼν τὴν ὅλην θεωρίαν τῆς σωτηρίας τοῦ ἀνθρώπου εἶπεν· Ὦ τί κρατεῖς κύριε Ἰησοῦ Χριστὲ οὐκ οἶδα, ἠπορημένος ἐπὶ τῇ πολλῇ σου εὐσπλαγχνίᾳ καὶ ἀπείρῳ μακροθυμίᾳ· ὢ μέγεθος οἷον εἰς δουλείαν κατῆλθεν· ὢ ἐλευθερία ἄφραστος δουλαγωγηθεῖσα παῤ ὑμῶν· ὢ ἀπερινόητε δόξα ἡμῶν· ὁ καὶ τὸν νεκρὸν οἶκον φυλάξας ἀνύβριστον, ὁ τοῦ καθαιμάξαντος ἑαυτὸν ἀνθρώπου λυτραωτὴς καὶ τοῦ τὰ φθειρόμενα

σώματα σωφρονίζων· ὁ πατὴρ ὁ ἐλεήσας καὶ σπλαγχνισθεὶς ἐπὶ τὸν ἀμελήσαντα ἄνθρωπον· δοξάζομέν σε καὶ αἰνοῦμεν καὶ εὐλογοῦμεν καὶ εὐχαριστοῦμεν τὴν πολλήν σου χρηστότητα καὶ μακροθυμίαν ἅγιε Ἰησοῦ· ὅτι σὺ μόνος θεὸς καὶ οὐχὶ ἕτερος· ὁ τὸ ἀνεπιβούλευτον κράτος καὶ νῦν καὶ εἰς τοὺς ἅπαντας αἰῶνας τῶν αἰώνων· ἀμήν.

78 Καὶ εἰπὼν ταῦτα ὁ Ἰωάννης προσλαβόμενος τὸν Καλλίμαχον ἠσπάζετο λέγων· Δόξα τῷ θεῷ ἡμῶν τέκνον τῷ ἐλεύσαντί σε καὶ καταξιώσαντί με δοξάσαι τὴν αὐτοῦ δύναμιν, καὶ καταξιώσαντι καὶ σὲ μεθόδῳ τῆς παρὰ σοῦ ἐκείνης σου μανίας καὶ μέθης μεταστῆναι, ἐπὶ δὲ τὴν ἰδίαν ἀνάπαυσιν καὶ ἀνακαίνισιν βίου καλέσαντι.

Ὁ δὲ Ἀνδρόνικος θεασάμενος τὸν Καλλίμαχον νεκρὸν ἐγηγερμένον ἐδέετο τοῦ Ἰωάννου ἅμα τοῖς ἀδελφοῖς ὅπως καὶ τὴν Δρουσιανὴν ἀνεγείρῃ λέγων· Ἰωάννη, ἀναστήτω καὶ τὸ βραχὺ κατορθωσάτω ὅπερ ἀπεκόμισεν λυπουμένη Δρουσιανὴ τοῦ Καλλιμάχου ἕνεκεν, δόξασα αὐτὸν σκάνδαλον γεγενῆσθαι· καὶ ὁπότε ὁ κύριος θέλει παραλήψεται αὐτήν. Καὶ ὁ Ἰωάννης μὴ μελλήσας προσελθὼν τῷ τάφῳ αὐτῆς καὶ τῆς χειρὸς κρατήσας ἔφη· Τὸν μόνον θεόν σε ὄντα ἐπικαλοῦμαι τὸν ὑπερμεγέθη, τὸν ἄφραστον, τὸν ἀκατάληπτον· ᾧ πᾶσα δύναμις ἀρχοντικὴ ὑποτέτακται· πᾶσα ἐξουσία ἔκλινεν· ᾧ πᾶσα ἀλαζονεία προπεσοῦσα ἡσυχάζει· ὃν δαίμονες ἀκούοντες φρίττουσιν· τουσιν· ὃν ἡ κτίσις ὅλη καταμαθοῦσα μετριάζει· δοξασθήτω σου τὸ ὄνομα ὑφ’ ἡμῶν, καὶ ἀνέγειρον Φρουσιανήν, ὅπως μᾶλλον Καλλίμαχος ἐπιστηριχθῇ οἰκονομήσαντι ἀνθρώποις μὲν ἄπορον καὶ ἀδύνατον, σωτηρίαν καὶ ἀνάστασιν, σοὶ δὲ μόνῳ δυνατόν, καὶ ἡ Δρουσιανὴ ἴδῃ ὅπως ἡ ἀναπεπαυμένη, τοῦ νεανίσκου ἐπιστρέψαντος ἐμπόδιον μεθ’ ἑαυτῦς μηδὲ τὸ βραχύτατον ἐπικομίζουσα ἐπιγενομένη πρὸς σέ.

80 Καὶ εἰπὼν ταῦτα ὁ Ἰωάννης τῇ Δρουσιανῇ ἔφη· Δρουσιανὴ ἀνάστηθι, Ἡ δὲ ἀναστᾶσα ἀπέβη τοῦ τάφου· καὶ ἰδοῦσα αὐτὴν ἐν διακρουσίῳ μόνον περὶ τὸ πρᾶγμα διηπόρει· καὶ μαθοῦσα ἀκριβῶς πάντα παρὰ τοῦ Ἀνδρονίκου, τοῦ Ἰωάννου κειμένου ἐπ’ ὄψιν καὶ τοῦ Καλλιμάχου μετὰ φωνῆς καὶ δακρύων δοξάζοντος τὸν θεόν, ἠγαλλιᾶτο καὶ αὐτὴ ὁμοίως δοξάζουσα.

81 Ὡς δὲ ἐνεδύσατο, ἐπιστραφεῖσα εἶδε τὸν Φουρτουνᾶτον κείμενον· λέγει πρὸς Ἰωάννην· Πάτερ καὶ οὗτος ἀναστήτω καὶ εἰ μάλιστα προδότης μου ἐπειράθη γενέσθα. Ὁ δὲ Καλλίμαχος ἀκούσας ταῦτα αὐτῆς εἰρηκυίας ἔφη· Μή, παρακαλῶ σε Δρουσιανή ἡ γὰρ φωνὴ ἣν ἀκήκοα τούτου οὐκ ἐφρόντισεν, ἀλλὰ περὶ σοῦ μόνης ἀνήγγειλε, καὶ ἰδὼν ἐπίστευσα· εἰ φὰρ ἦν ἀγαθός, τάχα ἂν καὶ αὐτὸν ἐλεήσας ὁ θεὸς διὰ τοῦ μακαρίου Ἰωάννου ἤγειρεν· ἐπέσχετο οὖν τὸν ἄνδρα κακῶς τεθνάναι. Καὶ ὁ Ἰωάννης αὐτῷ εἶπεν· Οὐκ ἐμάθομεν τέκνον κακὸν ἀντὶ κακοῦ ἀποδοῦνα. καὶ γὰρ ὁ θεὸς ποιησάντων ἡμᾶς εἰς αὐτὸν πολλὰ κακὰ καὶ οὐχὶ καλὰ ἀντιμισθίαν ὑμῖν οὐκ ἀπέδωκεν ἀλλὰ μετάνοιαν· καὶ ἀγνοησάντων ὑμῶν τὸ ὄνομα αὐτοῦ οὐκ ἠμέλησεν ἀλλ᾽ ἠλέησεν, καὶ βλασφημησάντων οὐκ ἐξῆλθεν ἀλλ᾽ εὐσπλαγχνίσθη· καὶ ἀπιστησάντων ἡμῶν οὐκ ἐμνησικάκησε· καὶ διωξάντων τοὺς ἀδελφοὺς αὐτοῦ

οὐκ ἀνταπέδωκεν, ἀλλὰ μετάνοιαν ὑποβαλὼν καὶ ἀποχὴν κακῶν παρεκάλεσε καὶ ἡμᾶς ἐπ’ αὐτόν, ὡς καὶ σὲ τέκνον Καλλίμαχε καὶ μὴ μνησικακήσας ἐπὶ τοῖς πρώτοις δοῦλον ἑαυτοῦ παρέστησαν ἐπιτηροῦντα αὐτοῦ τῷ ἐλέει. ὅθεν εἰ μὴ ἐπιτρέπεις τὸν Φουρτουνᾶτον ἀναστῆνα, Δρουσιανῆς χρεία.

Ἡ δὲ μὴ μελλήσασα ἀγαλλιάσει πνεύματος καὶ ψυχῆς προσελθοῦσα τῷ Φουρτουνάτου πτώματι εἶπεν· Ὁ θεὸς τῶν αἰώνων Ἰησοῦ Χριστέ, ὁ θεὸς τῆς ἀληθείας, ὁ παρασχόμενός μοι ἰδεῖν τέρατα καὶ σημεῖα, ὁ χαρισάμενός μοι τοῦ ὀνόματός σου κοινωνὸν γενέσθαι· ὁ ἐμφυσήσας μοι ἑαυτὸν τῇ πολυμόρφῳ σου ὄψει καὶ ἐλεήσας παντοίως· ὁ βιαζομένην με ὑπὸ τοῦ παλαιοῦ μου συμβίου Ἀνδρονίκου περισκεπάσας τῇ πολλῇ σου χρηστότητι· ὁ ἀδελφόν μοι παραδοὺς τὸν σὸν δοῦλον Ἀνδρόνικον· ὁ φυλάξας με καθαρκὰν ἕως τοῦ νῦν τὴν σὴν δούλην· ὁ τελευτῆσάν με ὑπὸ Ἰωάννου ἀναστήσας τοῦ σοῦ θεράποντος· ὁ καὶ ἐγηγερμένην με δείξας τὸν σκανδαλισθέντα ἀσκανδάλιστον· ὁ ἀναπαύσας με ἐπὶ σὲ τελείως καὶ κουφίσας τῆς ἀποκρύφου μανίας· ὃν ἐφίλησα καὶ ἠγάπησα· δέομαί σου Χριστὲ μὴ παραπέμψῃ τὴν σὴν Δρουσιανὴν αἰτουμένην σε τὸν Φουρτουνᾶτον ἀναστῆναι, εἰ καὶ μάλιστα προδότης μου ἐπειράθη γενέσθαι.

83 Καὶ λαβομένη τῆς χειρὸς τοῦ τεθνεῶτος ἔφη· Ἀνάστα Φουρτουνᾶτε ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὁ δὲ Φουρτουνᾶτος ἀναστὰς καὶ ἰδὼν τὸν Ἰωάννην ἐν τῷ μνήματι καὶ τὸν Ἀνδρόνικον καὶ τὴν Δρουσιανὴν ἐκ νεκρῶν ἐγηγερμένην καὶ τὸν Καλλίμαχον πεπιστευμένον καὶ τοὺς λοιποὺς ἀδελφοὺς δοξάζοντας τὸν θεὸν εἶπεν· Ὢ μέχρι ποῦ τῶν δεινῶν ἀνθρώπων τούτων αἱ δυνάμεις ἐχώρησαν· οὐκ ἐβουλόμην ἐγηγέρθαι ἀλλὰ μᾶλλον τεθνάναι, ὅπως αὐτοὺς μὴ ὁρῶ. Καὶ ταῦτα εἰπκὼν φυγὼν ἐξῆλθε τοῦ μνήματος.

84 Καὶ ὁ Ἰωάννης ἰθὼν τὴν ἀμετάθετον τοῦ Φουρτουνάτου ψυχὴν εἶπεν· Ὢ φύσις μὴ καταβαλλομένη πρὸς τὸ κρεῖττον· ὢ πηγὴ ψυχῆς μενούσης ἐν ῥύπῳ· ὢ οὐσία φθορᾶς σκότους πλήρης· ὢ θάνατε ἐν τοῖς σοῖς ὀρχούμενε· ὢ δένδρον ἄκαρπον πυρὸς γέμον· ὢ ξύλον τὸν καρπὸν ἄνθρακα γέμον· ὢ ὕλη ὑλομανίας σύνοικε καὶ ἀπιστίας γεῖτον· ἤλεγξας τίς εἶ καὶ ἐλέγχῃ ἀεὶ ἅμα τοῖς σοῖς τέκνοις· καὶ τὸ δύνασθαι δοξάζειν τὸ κρεῖττον οὐκ οἶδας· οὐ γὰρ ἔχεις. τοιγαροῦν οἵα ἡ ὁδός σου τοιαύτη καὶ ῥίζα καὶ ἡ φύσις, καταργήθητι ἀπὸ τῶν ἐλπιζόντων πρὸς κύριον· ἀπὸ ἐννοιῶν αὐτῶν· ἀπὸ τοῖ νοός· ἀπὸ τῶν ψυχῶν· ἀπὸ τῶν σωμάτων· ἀπὸ πράξεως· ἀπὸ βίου· ἀπὸ ἀναστροφῆς· ἀπὸ ἀπωλείας· ἀπὸ ἐπιτηδεύματος· ἀπὸ συμβουλίας· ἀπὸ ἀναστάσεως τῆς πρὸς θεόν· ἀπὸ εὐωδίας ἧς κοινωνεῖν μέλλεις· ἀπὸ νηστειῶν· ἀπὸ δεήσεων· ἀπὸ λουτροῦ ἁγίου· ἀπὸ εὐχαριστίας· ἀπὸ τροφῆς σαρκός· ἀπὸ πότου· ἀπὸ ἐνδύματος· ἀπὸ ἀγάπης· ἀπὸ ἀκηδίας· ἀπὸ ἐγκρατείας· ἀπὸ δικαιοσύνης· ἀπὸ πάντων σε τούτων ἀνοσιώτατε καὶ θεοῦ ἐχθρὲ Σατανᾶ καταργήσει σε Ἰησοῦς Χριστὸς ὁ θεὸς ἡμῶν καὶ τῶν ὁμοίων σου τῶν ἐχόντων σου τὸν τρόπον.

85 Καὶ ταῦτα εἰπὼν ὁ Ἰωάννης ἐπευξάμενος καὶ λαβὼν ἄρτον ἐκόμισεν εἰς τὸ μνῆμα κλάσαι· καὶ εἶπε· Δοξάζομέν σου τὸ ὄνομα τὸ ἐπιστρέφον ἡμᾶς ἐκ τῆς

πλάνης καὶ ἀνηλεοῦς ἀπάτης· δοξάζομέν σε τὸν παῤ ὀφθαλμοῖς δείξαντα ἡμῖν ἃ εἴδομεν· μαρτυροῦμέν σου τῇ χρηστότητι ποικίλαις φανίσιν· αἰνοῦμέν σου τὸ ἀγαθὸν ὄνομα κύριε ἐλέγξαντι τοὺς ὑπὸ σοῦ ἐλεγχομένους· εὐχαριστοῦμέν σε κύριε Ἰησοῦ Χριστέ, ὅτι πεπείσμεθα ἀμετάβολον οὖσαν· εὐχαριστοῦμέν σου τῷ χρῄσαντι φύσιν φύσεως σῳζομένης· εὐχαριστοῦμέν σοι τῷ τὴν ἀπαραίτητον ἡμῖν δεδωκότι ταύτην ὅτι σὺ μόνος καὶ νῦν καὶ ἀεί· οἱ σοὶ δοῦλοι εὐχαριστοῦμέν σοι μετὰ προφάσεως συλλεγόμενοι καὶ ἀναλεγόμενοι ἅγιε.

86 Καὶ εὐξάμενος οὕτως καὶ δοξάσας ἐξῄει τοῦ μνήματος, κοινωνήσας τοῖς ἀδελφοῖς πᾶσι τῆς τοῦ κυρίου εὐχαριστίας· καὶ γενόμενος ἐν τοῖς Ἀνδρονίκου ἔλεγε τοῖς ἀδελφοῖς· Ἀδελφοί, πνεῦμά τι ἐν ἐμοὶ ἐμαντεύσατο τὸν Φουρτουνᾶτον ἀπὸ τῆς τοῦ ὄφεως πληγῆς μελανίᾳ μέλλοντι τεθνάναι· ἀλλὰ μαθέτω τις τάχιον πορευθεὶς εἰ ἄρα οὕτως ἔχει. Καὶ δραμών τις τῶν νεανίσκων εὗρον αὐτὸν λοιπὸν τεθνηκότα καὶ τὴν μελανίαν νεμομένην καὶ ἁψαμένης τῆς καρδίας αὐτοῦ· καὶ ἐλθὼν ἀνήγγειλε τῷ Ἰωάννῃ τρίωρον αὐτὸν τεθνάναι. καὶ εἶπεν ὁ Ἰωάννης· Ἀπέχει τὸ τέκνον σου διάβολε.

87 (1 Iames) Ἐξήτασαν οὖν οἱ παρόντες τὴν αἰτίαν, καὶ μάλιστα ἠπόρουν εἰρηκυίας τῆς Δρουσίνης ὅτι Μοι ὁ κύριος ὡς Ἰωάννῃ ὤφθη ἐν τῷ μνήματι καὶ ὡς νεανίσκος. Ἠπορημένων οὖν αὐτῶν καὶ τρόπον τινὰ μηδέπω ἐστηριγμένων τῇ πίστει βεβαίως φέρων ὁ Ἰωάννης εἶπεν·

88 Ἄνδρες ἀδελφοί, οὐδὲν ξένον πεπόνθατε οὐδὲ παράδοξον περὶ τῆς εἰς τὸν ἐκδοχῆς, ὅπου γε καὶ ὑμεῖς, οὓς ἐξελέξατο ἑαυτῷ ἀποστόλους, πολλὰ ἐπεράσθησαν· ἐγὼ μὲν ὑαῖν προσομιλῶν οὔτε γράψαι χωρῶ ἅ τε εἶθον ἅ τε ἤκουσα. καὶ νῦν μὴ δεῖ με πρὸς τὰς ἀκοὰς ὑμῶν ἁρμόσασθαι, καὶ καθ᾽ ἃ χωρεῖ ἕκαστος ἐκείνω ὑμῖν κοινωνήσω ὧν ἀκροαταὶ δύνασθε γενέσθαι, ὅπως ἴδητε τὴν περὶ αὐτὸν δόξαν ἥτις ἦν καὶ ἔστι καὶ νῦν καὶ εἰς ἀεί. (2) ὅτε γὰρ ἐξελέξατο Πέτρον καὶ Ἀνδρέαν ἀδελφοὺς ὄντας, ἔρχεται πρός με καὶ τὸν ἀδελφόν μου Ἰάκωβον εἰπών· Χρῄζω ὑμῶν, ἔλθατε πρός με. Καὶ ὁ ἀδελφός φός μου τοῦτο εἶπεν· Ἰωάννη, τὸ παιδίον τοῦτο ἐπὶ τοῦ αἰγιαλοῦ καλέσαν ὑμᾶς τί βούλετοι; Κἀγὼ εἶπον· Ποῖον παιδίον; Ὃ δὲ μοι πάλιν· Τὸ νεῦον ἡμῖν. Κἀγὼ ἀπεκρινάμην· Διὰ τὴν πολλὴν ἡμῶν ἀγρυπνίαν τὴν κατὰ θάλασσαν γεγονυῖαν οὐ σὺ ὁρᾷς ἀδελφέ μου Ἰάκωβε; οὐχ ὁρᾷς δὲ τὸν ἑστῶτα ἄνδρα εὔμορφον καλὸν ἱλαροπρόσωπον; Ὃ δέ μοι εἶπεν· Τούτου οὐχ ὁρῶ ἀδελφέ· ἀλλ᾽ ἐξέλθωμε καὶ ὀψόμεθα τὸ τί βούλεται.

89 Καὶ οὕτως σιγῇ τὸ πλοῖον ἀγαγόντες εἴδομεν καὶ αὐτὸν ἅμα ὑμῖν βοηθοῦντα ὅπως τὸ πλοῖον ἐδράσωμεν. ὡς δὲ ἀπέστημεν τοῦ τόπου αὐτῷ βουληθέντες ὄπεσθαι, πάλιν ὤφθη ἐμοὶ ὑπόψιλον ἔχων, τὸ δὲ γένειον δασὶν καταγόμενον, τῷ δὲ Ἰακώβῳ ἀρχιγένειος νεανίσκος. ὑποροῦν μὲν οὖν ἀμφότεροι ὅ τι βούλεται τὸ ὁραθὲν ὑμῖν. εἶτα ἐπόμενοι αὐτῷ ἀμφότεροι κατ᾽ ὀλίγον ἠποροῦμεν ἐννοούμενοι τὸ πρᾶγμα. ἐμοὶ μέντοι καὶ τὸ παραθοξότερον τότε ἐφαίνετο· ἐπειρώμην γὰρ αὐτὸν κατ᾽ ἰδίαν ὁρᾶν, καὶ οὐδεπώποτε εἶθον τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπονεύοντας, ἀλλὰ μόνον ἀνεῳγότας. πολλάκις δέ μοι καὶ μικρὸς ἄνθρωπος ἐνφαίνεται δύσμορφος

καὶ τὸ πᾶν εἰς οὐρανὸν ἀποβλέπων. εἶχεν δὲ καὶ ἕτερον θαυμαστόν· ἀνακείμενον ἐμὲ ἐπὶ τὰ ἴδια στήθη ἐδέχεται, κἀγὼ συνεῖχον ἑαυτῷ· καὶ ποτὲ μέν μοι λεῖα καὶ ἁπαλὰ τὰ στήθη αὐτοῦ ἐψηλαφᾶτο, ποτὲ δὲ σκληραὶ ὥσπερ πέτραις ὅμοια, ὡς διαπορεῖν με ἐν ἐμαυτῷ καὶ λέγει· Τί ἐστι τοῦτο, οὗτός μοι. Καὶ ἐννοοῦντός μου ταῦτα αὐτὸς […]

90 (3) ἄλλοτε δὲ ποτε παραλαμβάνει με, Ἰάκωβον καὶ Πέτερον εἰς τὸ ὄρος ὅπου ἦν αὐτῷ ἔθος εὔχεσθαι, καὶ εἴδομεν αὐτῷ φῶς τοιοῦτον ὁποῖον οὐκ ἔστιν δυνατὸν ἀνθρώπῳ χρώμενον λόγῳ φθαρτῷ ἐκφέρειν οἷον ἦν. (4) πάλιν ὁμοίως ἀνάγει ἡμᾶς τοὺς τρεῖς εἰς τὸ ὄρος λέγων· Ἔλθατε σὺν ἐμοί. Ἡμεῖς δὲ πάλιν ἐπορεύθημεν· καὶ ὁρῶμεν αὐτὸν ἀπὸ διαστήματος εὐχόμενον· ἐγὼ δὲ οὖν, ἐπειδὴ ἐφίλει με, ἡρέμα ὡς μὴ ὁρῶντες αὐτὸς αὐτοῦ ἐγγίζω αὐτῷ καὶ ἵσταμαι ἀφορῶν αὐτὸν εἰς τὰ ὀπίσθια αὐτοῦ· καὶ ὁρῶ αὐτὸν ἱμάτια μὲν μηδὲ ὅλως ὑμφιεσμένον, γυμνὸν δὲ τοῦτον ὁρώμενον ὑφ’ ἡμῶν, ἄνθρωπον δὲ οὐδὲ ὅλως· καὶ τοὺς μὲν πόδος ποίας χιόνος λευκοτέρους, ὡς καὶ τὴν γῆν ἐκείνην καταλάμπεσθαι ὑπὸ τῶν ποδῶν· τὴν δὲ κεφαλὴν εἰς τὸν οὐρανὸν ἐρειδομένην, ὡς φοβηθέντα με κραυγάσαι, αὐτὸν δὲ ἐπιστραφέντα μικρὸν ἄνθρωπον ὀφθῆναι καὶ κρατήσαντός μου τὸ γένειον ἀνασπάσαι καὶ εἰπεῖν μοι· Ἰωάννη μὴ γίνου ἄπιστος ἀλλὰ πιστὸς καὶ μὴ περίεργος. Καὶ εἶπον αὐτῷ· Τί γὰρ ἐποίησα κύριε; Λέγω δὲ ὑμῖν ἀδελφοί, οὕτως πεπόνεκα τὸν τόπον ἐκεῖνον ὅθεν μου τοῦ γενείου ἐλάβετο ἡμέρας τριάκον, ὥστε με εἰπεῖν αὐτῷ· Κύριε, εἰ τὸ τίαμα σου παίζοντος τοιαύτην ἀλγηδόνα πεποίηκεν, τί εἰ ῥαπίσμασίν μοι ἔλαβεσ; Καὶ αὐτός μοι εἶπεν· Σὸν λοιπὸν εἰ τὸν μὴ πειράζειν τὸν ἀπείραστον.

91 (5) Ὁ δὲ Πέτρου καὶ Ἰακώβου ἐμοῦ ὁμιλοῦντος τῷ κυρίῳ ἠγανάκτων διανευόμενοί μοι ὅπως παραγένωμαι πρὸς αὐτοὺς ἀπολιπὼν μόνῳ τῷ κυρίῳ. καὶ ἐπορεύθην καὶ εἶπόν μοι ἀμφότεροι· Ὁ τῷ κυρίῳ προσομιλῶν γένον ἐπὶ τοῦ ὕψους τίς εἶ; καὶ γὰρ ἠκροούμεθα ἀμφοτέρων λαλούντων. Καὶ σὺ νοήσας τὴν πολλὴν χάριν αὐτοῦ καὶ πολυπρόσωπον ἑνότητα καὶ σοφίαν ἄληκτον εἰς ἡμᾶς ἀποβλέπουσα εἶπον· Μαθήσεσθε αὐτῷ τοῦτο αὐτὸν ἐξετάσαντες.

92 (6) Πάλιν ποτὲ ἡμῶν πάντων τῶν μαθητῶν αὐτοῦ εἰς Γεννησαρὲτ ἐν ἑνὶ καθευβῶν τῶ οἴκῳ ἐγὼ μόνος ἀπὸ τὸ ἱμάτιον ἐντυλιξάμενος ἐπετήρουν τί πράσσει, καὶ ἠκουσα τὸ πρῶτον λέγοντος αὐτοῦ· Ἰωάννη κάθευδε. Κἀγὼ τότε προσποιησάμενος τὸν καθεύδοντα εἶδον ἄλλον ὅμοιον αὐτὸν καθεύδοντά τινα, οὗ κὐκροασάμην λέγοντος τῷ κυρίῳ μου· Ἰησοῦ, οὓς ἐξελέξω ἔτι σοι ἀπιστοῦσιν. Καὶ ὁ κύριός μου εἶπεν αὐτῷ· Καλῶς λέγεις· ἄνθρωπος γάρ εἰσιν.

93 (7) Ἑτέραν δὲ ὑμῖν δόξαν ὁρῶ ἀδελφοὶ· ποτὲ βουλόμενος αὐτὸν κρατῆσαι ἐν ὑλώδει καὶ παχεῖ σώματι προσέβαλλον· ἄλλοτε δέ ποτε πάλιν ψηλαφῶντός μου αὐτὸν ἄυλον ἦν καὶ ἀσώματον τὸ ὑποκείμενον καὶ ὡς μηδὲ ὅλως ὄν. (8) εἰ δὲ ὑπό τινός ποτε τῶν φαρισαίων κληθεὶς εἰς κλῆσιν ἐπορεύετο, συναπῄειμεν αὐτῷ· καὶ ἑκάστῳ παρετίθετο ἄρτος εἷς ὑπὸ τῶν κεκληκότων, ἐν οἷς καὶ αὐτὸς ἐλάμβανεν ἕνα· τὸν δὲ αὐτοῦ εὐλογῶν διεμέριζεν ἡμῖν· καὶ ἐκ τοῦ βραχέος ἕκαστος

ἐχορτάζετο καὶ οἱ ἡμῶν ἄρτοι ὁλόκληροι ἐφυλάσσοντο, ὥστε ἐκπλήττεσθαι τοὺς καλοῦντας αὐτόν. (9) ἐβουλόμην δὲ πολλάκις σὺν αὐτῷ βαδίζων ἴχνος αὐτοῦ ἐπὶ τῆς γῆς ἰδεῖν εἰ φαίνεται· ἐώρων γὰρ αὐτὸν ἀπὸ τῆς γῆς ἑαυτὸν ἐπαίροντα· καὶ οὐδέποτε εἶδον. (10) καὶ ταῦτα ὑμῖν ἔτι ὥσπερ προτροπῆς ἕνεκεν ἀδελφοὶ τῆς ἐπ’ αὐτὸν πίστεως ὁμιλῶ· τὰ γὰρ μεγαλεῖα αὐτοῦ καὶ θαυμάσια τὸ νῦν σεσιγήσθω, ἄρρητα ὄντα καὶ τάχα οὐ δυνάμενα οὔτε λέγεσθαι οὔτε ἀκούεσθαι.

94 (11) πρὶν δὲ συλληφθῆναι αὐτὸν ὑπὸ τῶν ἀνόμων καὶ ὑπὸ ἀνόμου ὄφεως νομοθετουμένων Ἰουδαίων συναγαγὼν πάντας ἡμᾶς ἔφη· Πρίν με ἐκείνοις παραδοθῆναι ὑμνήσωμεν τὸν πατέρα καὶ οὕτως ἐξέλθωμεν ἐπὶ τὸ προκείμενον. Κελεύσας οὖν ἡμῖν ὥσπερ χῦρον ποιῆσαι, ἀποκρατούντων τὰς ἀλλήλων χεῖρας, ἐν μέσῳ δὲ αὐτὸς γενόμενος, ἔλεγεν· Τὸ ἀμὴν ἐπακούετέ μοι. Ἤρξατο οὖν ὕμνον ὑμνεῖν καὶ λέγειν· Δόξα σοι πάτερ. Καὶ ἡμεῖς κυκλεύοντες ἐπηκούομεν αὐτῷ τὸ ἀμήν. Δόξα σοι λόγε· δόξα σοι χάρις. Ἀμήν. Δόξα σοι τὸ πνεῦμα· δόξα σοι ἅγιε· δόξα σου τῇ δόξῃ. Ἀνήν. Ἀϊνοῦμέν σε πάτερ· εὐχαριστοῦμέν σοι φῶς ἐν ᾧ σκότος οὐκ οἰκεῖ. Ἀμήν.

95 Ἐφ’ δὲ εὐχαριστοῦμεν λέγω· σωθῆναι θέλω καὶ σῷσαι θέλω. Ἀμήν. Λυθῆναι θέλω καὶ λῦσαι θέλω. Ἀμήν. Τρωθῆναι θέλω καὶ τρῶσαι θέλω. Ἀμήν. Γεννᾶσθαι θέλω καὶ γεννῶν θέλω. Ἀμήν. Φαγεῖν θέλω καὶ βρωθῆναι θέλω. Ἀμήν. Ἀκούειν θέλω καὶ ἀκούεσθαι θέλω. Ἀμήν. Νοηθῆναι θέλω νοῦς ὢν ὅλος. Ἀμήν. Λούσασθαι θέλω καὶ λούειν θέλω. Ἀμήν. Ἡ χάρις χορεύει· αὐλῦσαι θέλω· ὀρχήσασθε πάντες. Ἀμήν. Θρηνῆσαι θέλω· κόψασθε πάντες. Ἀμήν. Ὀγδοὰς μία ὑμῖν συμψάλλει. Ἀμήν. Ὁ δωδέκατος ἀριθμὸς ἄνω χορεύει. Ἀμήν. Τῷ δὲ ὅλων ᾧ χορεύειν ὑπάρχει. Ἀμήν. Ὁ μὴ χορεύων τὸ γινόμενον ἀγνοεῖ. Ἀμήν. Φυγεῖν θέλω καὶ μένειν θέλω. Ἀμήν. Κοσμεῖν θέλω καὶ κοσμὰς θέλω. Ἀμήν. Ἑνωθῆναι θέλω καὶ νῶσαι θέλω. Ἀμήν. Οἶκον οὐκ ἔχω καὶ οἴκους ἔχω. Ἀμήν. Τόπον οὐκ ἔχοι καὶ τόπους ἔχω. Ἀμήν. Ναὸν οὐκ ἔχω καὶ ναοὺς ἔχω. Ἀμήν. Λύχνος εἰμί σοι τῷ βλέποντί με. Ἀμήν. Ἔσοπτρόν εἰμί σοι τῷ νοοῦντί με. Ἀμήν. Θύρα εἰμί σοι κρούοντί με. Ἀμήν. Ὁδός εἰμί σοι παροδίτῃ.

96 ὑπακούω δέ μου τῇ χορείᾳ ἴδε σεαυτὸν ἐν ἐμοὶ λαλοῦνται, καὶ ἰδὼν ὃ πράσσων τὰ μυστήριά μου σίγα. ὁ χορεύων νόει ὃ πράσσω, ὅτι σόν ἐστιν τοῦτο τοῦ ἀνθρώπου πάθος ὃ μέλλω πάσχειν· οὐ γὰρ ἐδύνου ὅλως συνιδεῖν ὃ πάσχεις εἰ μή σοι λόγος ὑπὸ πατρὸς ἐστάλην. ὁ ἰδὼν ὃ πάσχω ὡς πάσχοντα εἶδες, καὶ ἰδὼν οὐκ ἔστης ἀλλ’ ἐκινύθης ὅλος. κινηθεὶς σοφίζειν στρωμνὴν μὲν ἔχεις· ἐπαναπάηθί μοι. τίς εἰμι ἐγὼ γνῶ ὅταν ἀπέλθω. νῦν ὁρῶμαι τοῦτο οὐκ εἰμί· ὄψει ὅταν σὺ ἔλθῃς. εἰ τὸ πάσχειν ἤδεις, τὸ μὴ παθεῖν ἂν εἶχες. τὸ παθεῖν σύγγνωθι καὶ τὸ μὴ παθεῖν ἔξεις. ὃ σὺ μὴ οἶδας αὐτός σε διδάξω. θεός εἰμι σοῦ, οὐ τοῦ προδότου. ῥυθμίζεσθαι θέλω ψυχαῖς ἁγίαις ἐπ’ ἐμέ. τὸν λόγον γνῶθι τῆς σοφίας. πάλιν ἐμοὶ λέγε· δόξα σοι πάτερ· δόξα σοι λόγε· δόξα σοι πνεῦμα ἅγιον. τὸ δὲ ἐμὸν ἠθελήσώμην γνῶναι. λόγον ἅπαξ ἔπαιξα πάντα καὶ οὐκ ἐπαισχύνθην ὅλως. ἐγὼ ἐσκίρτησα, σὺ δὲ νόει τὸ πᾶν, καὶ νοήσας λέγε· δόξα σοι πάτερ. Ἀμήν.

97 (12) Ταῦτα ἀγαπητοὶ χορεύσας μεθ᾽ ἡμῶν ὁ κύριος ἐθῆλθεν· καὶ ἡμεῖς ὥσπερ πλανηθέντες ἢ καὶ ἀποκοιμηθέντες ἄλλος ἀλλαχόσε πεφεύγειmεν. ἐγὼ μὲν οὖν ἰδὼν αὐτὸν πάσχοντα οὐδὲ προσέμεινα αὐτοῦ τῷ πάθε, ἀλλ᾽ ἔφυγον εἰς τὸ ὄρος τῶν ἐλαιῶν κλαίων ἐπὶ τῷ συμβεβηκότι. καὶ ὅτε τῷ ἀρουβάτῳ ἀπεκρεμάσθη, ὥρας ἕκτης ἡμερινῆς σκότος ἐφ᾽ ὅλης τῆς γῆς ἐγεγόνει. καὶ στὰς ὁ κύριός μου ἐν μέσῳ τοῦ σπηλαίου καὶ φωτίσας αὐτὸ εἶπεν· Ἰωάννη, τῷ κάτω ὄχλῳ ἐν Ἱεροσολύμοις σταυροῦμαι καὶ λόγχαις νύσσομαι καὶ καλάμοις καὶ ὄξος τε καὶ χολὴν ποτίζομαι. σοὶ δὲ λαλῶ καὶ ὃ λαλῶ ἄκουσον. ἐγώ σοι ὑπέβαλον ἀνελθεν εἰς τοῦτο τὸ ὄρος ὅπως ἀκούσῃς ἃ δεῖ μαθητὴν παρὰ διδασκάλου μανθάνει καὶ ἄνθρωπον παρὰ θεοῦ.

98 (13) Καὶ εἰπὼν ταῦτα ἔδειξέν μοι σταυρὸν φωτὸς πεπηγ μένον καὶ περὶ τὸν σταυρὸν ὄχλον πολύν, μίαν μορφὴν μὴ ἔχοντα. καὶ ἐν αὐτῷ ἦν μορφὴ μία καὶ δέα ὁμοία. αὐτὸν δὲ τὸν κόριον ἐπάνω τοῦ σταυροῦ ἑώρων σχῆμα μὴ ἔχοντα ἀλλά τινα φωνὴν μόνον, φανὴν δὲ οὐ ταύτην τὴν ἡμῖν συνήθη, ἀλλά τινα ἡδεῖαν καὶ χρηστὴν καὶ ἀληθῶς θεοῦ, λέγουσαν πρός με· Ἰωάννη, ἕνα δεῖ παῤ ἐμοῦ ταῦτα ἀκοῦσαι· ἑνὸς γὰρ χρῄζω τοῦ μέλλοντος ἀκούειν. ὁ σταυρὸς οὗτος ὁ τοῦ φωτὸς ποτὲ μὲν λόγος καλεῖται ὑπ᾽ ἐμοῦ δι᾽ ὑμᾶς, ποτὲ δὲ νοῦς, ποτὲ δὲ Ἰησοῦς, ποτὲ Χριστός, ποτὲ θύρα, ποτὲ ὁδός, ποτὲ ἄρτος, ποτὲ σπόρος, ποτὲ ἀνάστασις, ποτὲ υἱός, ποτὲ πατήρ, ποτὲ πνεῦμα, ποτὲ ζωή, ποτὲ ἀλήθεια, ποτὲ πίστις, ποτὲ χάρις. ται μὲν ὡς πρὸς ἀνθρώπους· ὃ δὲ ὄντως ἐστίν, αὐτὸς πρὸς αὐτὸν νοούμενος καὶ εἰς ἡμᾶς λεγόμενος, διορισμὸς πάντων ἐστίν· καὶ τὸν πεπηγμένον ἐξ ἀνεδράστων ἀνάγη βιάβα καὶ ἁρμονία σοφίας· σοφία δὲ οὖσα ἐν ἁρμονίᾳ ὑπάρχουσιν δεξιοὶ καὶ ἀριστεροί, δυνάμεις, ἐξουσίαι, ἀρχαὶ καὶ δαίμονες, ἐνέργειαι, ἀπειλαί, θυμοί, διάβολοι, Σατανᾶς καὶ ἡ κατωτικὴ ῥίζα, ἄφες τῶν γινομένων προῆλθεν φύσις.

99 οὗτος οὖν ὁ σταυρὸς ὁ διαπηξάμενος τὰ πάντα λόγῳ καὶ διορίσας τὰ ἀπὸ γενέσεως καὶ κατωτέρω, εἶτα καὶ εἰς πάντα πηγάσας· οὐχ οὗτος δέ ἐστιν ὁ σταυρὸς ὃν μέλλεις ὁρᾶν ξύλινον κατελθών ἐντεῦθεν· οὔτε ἐγώ εἰμι ὁ ἐπὶ τοῦ σταυροῦ, ὃν νῦν οὐχ ὁρῷς ἀλλὰ μόνον φωνῆς ἀκούεις. ὃ οὐκ εἰμὶ ἐνομίσθην, μὴ ὢν ὃ ἤμην ἄλλοις πολλοῖς ἀλλ᾽ ὅ τι με ἐροῦσιν ταπεινὸν καὶ οὐκ ἐμοῦ ἄξιον. ὡς οὖν ὁ τόπος τῆς ἀναπαύσεως οὔτε ὁρᾶται οὔτε λέγεται, πολλῷ μᾶλλον ὁ τούτου κύριος οὔτε ὀφθήσομαι.

100 (14) ὁ δὲ περὶ τὸν σταυρὸν μονοειδὴς ὄχλος ἡ κατωτικὴ φύσις ὑπάρχει. καὶ οὓς ὁρᾷς ἐν τῷ σταυρῷ, εἰ καὶ μίαν μορφὴν οὐκ ἔχουσιν, οὐδέπω τὸ πᾶν τοῦ κατελθόντος συνελήφθη μέλος. ὅταν δὲ ἀναληφθῇ ἄνθρωποι φύσις καὶ γένος προσχωροῦν ἐπ᾽ ἐμὲ φωνῇ τῇ ἐμῇ πειθόμενον, ὃν νῦν ἀκούω με σὺ τοῦτο γενήσεται, καὶ οὐκέτι ἔσται νῦν ἔστιν. ἀλλ᾽ ὑπὲρ αὐτῶν ὡς κἀγὼ νῦν· μέχρι γὰρ μήπω ἔδιόν μου λέγεις ἑαυτὸν τοῦτο οὐκ εἰμὶ ὅ εἰμι· ἐὰν δέ με ἀκούσῃς, ἀκούων καὶ σὺ μένε ὡς κἀγώ, ἐγὼ δὲ ὃ ἤμην ἔσομαι, ὅταν σὲ ὡς ἐγὼ παῤ ἐμαυτῷ· παρὰ γὰρ τοῦ τοῦτο εἶ. τῶν οὖν πολλῶν, ἀμέλει καὶ τῶν ἔξω τοῦ μυστηρίου, καταφρόνει· γίνωσκε γάρ με ὅλον παρὰ τῷ πατρὶ καὶ τὸν πατέρα παῤ ἐμοί.

101 (15) οὐδὲν οὖν ὧν μέλλουσιν λέγειν περὶ ἐμοῦ ἔπαθα· ἀλλὰ καὶ τὸ πάθος ἐκεῖνο ὃ ἔδειξά σοι καὶ τοῖς λοιποῖς χορεύων μυστήριον βούλομαι καλεῖσθαι. ὃ γὰρ εἰ σὺ ὁρᾷς τοῦτο ἐγώ σοι ἔδειξα· δὲ εἰμι τοῦτο ἐγὼ μόνος οἶδα, ἄλλος οὐδείς. τὸ οὖν ἐμὸν ἐαΐμε ἔχειν, τὸ δὲ σὸν δι᾽ ἐμοῦ ὁρᾶν, ἐμὲ δὲ ὄντως ὁρᾶν, οὐ ἔφην ὑπάρχειν ἀλλ᾽ ὃ σὺ δὲ νυ γνωρίζειν συγγενὴς ὤν. ἀκούεις με παθόντα καὶ οὐκ ἔπαθον, μὴ παθόντα καὶ ἔπαθον· νυγέντα καὶ οὐκ ἐπλήγην· κρεμασθέντα καὶ οὐκ ἐκρεμάσθην· αἷμα ἐξ ἐμοῦ ῥεύσαντα καὶ οὐκ ἔρευσεν· καὶ ἁπλῶς ἃ ἐκεῖνοι λέγουσιν περὶ ἐμοῦ ταῦτα μὴ ἐσχηκέναι, δὲ μὴ λέγουσιν ἐκεῖνα πεπονθέναι. τίνα δὲ ἔστιν αἰνίσσομαί σην· οἶδα γὰρ ὅτι συνήσεις. νόησον οὖν με λόγου αἴνεσιν, λόγου νύξι, λόγου αἷμα, λόγου τραῦμα, λόγου ἐξάρτησιν, λόγου πάθος, λόγου πῆξιν, λόγου θάνατον· καὶ οὕτως χωρίσας ἄνθρωπον λέγω. τὸν μὲν οὖν πρῶτον λόγον νόησον, εἶτα κύριον νοήσεις, τὸν δὲ ἄνθρωπον τρίτον καὶ τὸ τί πέπονθεν.

102 (16) Ταῦτα εἰρηκότος πρός με καὶ ἕτερα ἃ οὐκ οἶδα εἰπεῖν ὡς αὐτὸς θέλει, ἀνελήφθη μηθενὸς αὐτὸν θεασαμένου τῶν ὄχλων. καὶ ἐλθόντος μου κατεγέλων ἐκείνων ἁπάντων εἰρηκότος πρός με ἅπερ εἰρήκασιν περὶ αὐτοῦ, τοῦτο μόνον κρατύνων ἐν ἑαυτῷ ὅτι συμβολικῶς πάντα ὁ κύριος ἐπραματεύσατο καὶ οἰκονομικῶς εἰς ἀνθρώπους ἐπιστροφὴν καὶ σωτηρίαν.

103 (17) θεασάμενοι οὖν ἀδελφοὶ τὴν τοῦ κυρίου χάριν καὶ στοργὴν τὴν πρὸς ἡμᾶς προσκυνοῦμεν αὐτοῦ ἐλεηθέντες ὑπ᾽ αὐτοῦ, μὴ δακτύλοις, μηδὲ στόμασιν, μηδὲ γλώσσῃ μηδ᾽ ἑνὶ ὅλως σωματικῷ ὀργάνῳ, ἀλλὰ τῇ ψυχῇ τῇ διαθέσει, αὐτῷ τοῦ ἀνθρώπου γινομένου τούτου τοῦ σώματος· καὶ γρηγορήσωμεν, ὅτι καὶ νῦν φυλακαῖς παρεδρεύει δι᾽ ἡμᾶς καὶ μνημείοις, δεσμοῖς καὶ δεσμωτηρίοις, ὀνείδεσι καὶ ὕβρεσι, θαλάσσῃ καὶ ξυρᾷ, μάστιξι, καταδίκοις, ἐπιβουλαῖς, δόλοις, τιμωρίαις· καὶ ἁπλῶς ἅποσιν ὑμῶν συνὼν πάσχουσι συμπάσχει καὶ αὐτὸς ἀδελφοί· ὑφ᾽ ἑκάστου ἡμῶν καλούμενος οὐχ ὑπο μ μένει παρακοῦσαι ὑμῶν, ἀλλ᾽ ὡς πάντῃ ὢν πάντων ὑμῶν ἀκούειν, καὶ νῦν ἐμοῦ δὲ καὶ τῆς Δρουσίνης, ἐγκεκλεισμένων θεὸς ὤν, βοήθειαν ἡμῖν προσάγων τῇ ἰδίμ εὐσπλαγχνίᾳ.

104 (18) πείσθητε οὖν καὶ ὑμεῖς ἀγαπητοὶ ὅτι οὐκ ἄνθρωπον ὑμῖν καταγγέλων σέβει, ἀλλὰ θεὸν ἀμετάτρεπτον, θεὸν ἀκράτειστον, θεὸν πάσης ἐξουσίας ἀνώτερον καὶ πάσης δυνάμεως καὶ ἀγγέλων πάντων καὶ κτίσεων λεγομένων καὶ αἰώνων ὅλων πρεσβύτερον καὶ ἰσχυρότερον. εἰς τοῦτο οὖν ἐμμείναντες καὶ εἰς τοῦτο οἰκοδομούμενοι ἀκαθαίρετον ὑμῶν τὴν ψυχὴν ἕξετε.

105 (19) Καὶ παραδοὺς ταῦτα τοῖς ἀδελφοῖς ὁ Ἰωάννης ἀνεχώρησεν ἅμα τῷ Ἀνδρονίκῳ εἰς περίπατον. καὶ ἡ Δρουσίνη δὲ ἀπὸ μακρόθεν ὑκολούθει ἅμα ποσί, ἵνα τὰς ὑπ᾽ αὐτοῦ πράξεις γενομένας θεωροῦσιν καὶ τὸν αὐτοῦ λόγον ἀκούουσιν πάντοτε ἐν κυρίῳ.

106 (15 T) Συνῆν οὖν τοῖς ἀδελφοῖς ὁ Ἰωάννης ἀγαλλιώμενος ἐν κυρίῳ. τῇ δὲ ἑξῆς κυριακῆς οὔσης καὶ τῶν ἀδελφῶν πάντων συλλεγέντων ἤρξατο λέγειν αὐτοῖς· Ἀδελφοὶ καὶ σύνδουλοι καὶ συγκληρονόμοι καὶ συμμέτοχοι τῆς τοῦ

κυρίου βασιλείας, γινώσκετε τὸν κύριον πόσας δυνάμεις δι' ἐμοῦ παρέσχεν ὑμῖν, πόσα τέρατα, ἰάσεις πόσας, πόσα σημεῖα, χαρίσματα οἷα, διδαχάς, κυβερνήσεις, ἀναπαύσεις, διακονίας, γνώσεις, δόξας, χάριτας, σωρεάς, πίστεις, κοινωνίας, ὅσα εἴδετε παῤ ὀφθαλμοῖς διδόμενα ὑμῖν ὑπ' αὐτοῦ, μὴ φαινόμενα ὀφθαλμοῖς τούτοις μηδὲ ἀκοαῖς ταύτας ἀκουόμενα. στηρίζεσθε οὖν ἐν αὐτῷ μεμνημένοι αὐτοῦ ἐν πάσῃ ὑμῶν πράξει, ἐπιστάμενοι τὸ γεγονὸς εἰς ἀνθρώπους τῆς οἰκονομίας μυστήριον τίνος ἕνεκεν πεπραγμάτευται ὁ κύριος. αὐτὸς δέεται ὑμῶν δι᾽ ἐμοῦ ἀδελφοὶ καὶ παρακαλεῖ, ἄλυπος θέλων μένειν, ἀνύβριστος, ἀνεπιβούλευτος, ἀκόλαστος· οἶδεν γὰρ καὶ ὕβρια τὴν ἐξ ὑμῶν, οἶδεν καὶ ἀτιμίαν, οἶδεν καὶ ἐπιβουλήν, οἶδεν καὶ κόλασιν παρακουόντων αὐτοῦ τῶν ἐντολῶν.

107 (16) μὴ οὖν λυπείσθω ὁ ἀγαθὸς ἡμῶν θεός, ὁ εὔσπλαγχνος, ὁ ἐλεήμων, ὁ ἅγιος, ὁ καθαρός, ὁ ἀμίαντος, ὁ ἄυλος, ὁ μόνος, ὁ εἷς, ὁ ἀμετάβολος, ὁ εἰλικρινής, ὁ ἄδολος, ὁ ἀόργητος, ὁ πάσης λεγομένης ἢ νοουμένης ἡμῖν προσηγορίας ἀνώτερος καὶ ὑψηλότερος θεὸς ἡμῶν Ἰησοῦς Χριστός· εὐφραινέσθω σὺν ἡμῖν καλῶς ἡμῶν πολιτευομένων, χαιρέτω καθαρῶς βιούντων ἡμῶν, ἀναπαυέσθω σεμνῶς ἡμῶν ἀναστρεφομένων· ἀμερινείτω ἐγκρατῶς ἡμῶν βιούντων, ἡδέσθω κοινωνούντων ἡμῶν, μειδιάτω σωφρονούντων ἡμῶν, εὐωχείσθω φιλούντων ἡμῶν αὐτόν. ταῦτα ὑμῖν ἀδελφοὶ ὁμιλῶ νῦν ἐπειγόμενος πρὸς τὸ προκείμενόν μοι ἔργον ἤδη τελειούμενον ὑπὸ τοῦ κυρίου. τί γὰρ ἕτερον ἔχοιμι πρὸς ὑμᾶς εἰπεῖν; ἔχετε τοῦ θεοῦ ἡμῶν τὰ ἐνέχυρα· ἔχετε τοὺς ἀρραβῶνας τῆς ἀγαθωσύνης αὐτοῦ· ἔχετε τὴν ἀπαραίτητον αὐτοῦ παρουσίαν. εἰ μὲν οὖν μηκέτι ἁμαρτάνετε, ἃ ἐν ἀγνοίᾳ ἐπράξατε ἀφίησιν ὑμῖν· εἰ δὲ καὶ αὐτὸν ἐγνωκότες καὶ ὑπ' αὐτοῦ ἐλεηθέντες ἐν τοῖς ὁμοίοις πάλιν ἀναστρέφεσθε, καὶ τὰ πρότερα ὑμῖν λογισθήσεται καὶ οὐχ ἕξετε μέρος ἢ ἔλεο, ἐνώπιον αὐτοῦ.

108 (17) Καὶ εἰπὼν ταῦτα πρὸς αὐτοὺς ηὔξατο οὕτως· Ο τὸν στέφανον τοῦτον πλέξας τῇ σῇ πλοκῇ Ἰησοῦ· ὁ τὰ πολλὰ ταῦτα ἄνθη εἰς τὸ ἀδιάπνευστόν σου ἄνθος τοῦ προσώπου ἐναρμόσας, ὁ ἐγκατασπείρας τοὺς λόγους τούτους· ὁ μόνος κηδεμὼν τῶν σῶν δούλων καὶ ἰατρὸς δωρεὰν ἰώμενος· ὁ μόνος εὐεργέτης καὶ ἀνυπερήφανος, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος, ὁ μόνος σωτὴρ καὶ δίκαιος, ὁ ἀεὶ ὁρῶν τὰ πάντων καὶ ἐν πᾶσιν ὢν καὶ πανταχοῦ παρὼν καὶ τὰ πάντα περιέχων καὶ πληρῶν τὰ πάντα Χριστὲ Ἰησοῦ θεὲ κύριε, ὁ ταῖς σαῖς δωρεαῖς καὶ τῷ σῷ ἐλέει περισκεπάζων τοὺς ἐπὶ σὲ ἐλπίζοντας, ὁ ἐπιστάμενος ἀκριβῶς τοῦ πανταχῇ ἡνῷν ἀντθίκου τὰς τέχνας τάς τε ἐπηρείας πάσας ἃς καθ' ἡμῶν ἐπιβουλεύει· σὺ μόνος κύριε βοήθησον ἐν τῇ ἐπισκοπῇ σου τοῖς σοῖς δούλοις· ναὶ κύριε.

109 (18) Καὶ αἰτήσας ἄρτον ευχαρίστησεν οὕτως· Τίνα αἶνον σποίαν προσφορὰν ἢ τίνα εὐχαριστίαν κλῶντες τὸν ἄρτον τοῦτον ἐπονομάσωμεν ἀλλ' ἢ σὲ μόνον κύριε Ἰησοῦ; δοξάζομέν σου τὸ λεχθὲν ὑπὸ τοῦ πατρὸς ὄνομα. δοξάζομέν σου τὸ λεχθὲν διὰ υἱοῦ ὄνομα. δοξάζομέν σου τὴν εἴσοδον τῆς θύρας. δοξάζομέν σου τὴν δειχθεῖσαν ἡμῖν διὰ σοῦ ἀνάστασιν. δοξάζομέν σου τὴν ὁδόν. δοξάζομέν σου τὸν σπόρον, τὸν λόγον, τὴν χάριν, τὴν πίστιν, τὸ ἄλας, τὸν ἄλεκτον μαργαρίτην,

τὸν θησαυρόν, τὸ ἄροτρον, τὴν σαγήνην, τὸ μέγεθος, τὸ διάδημα, τὸν δι᾽ ἡμᾶς λεχθέντα υἱὸν ἀνθρώπου, τὸν χαρισάμενον ἡμῖν τὴν ἀλήθειαν, τὴν ἀνάπαυσιν, τὴν γνῶσιν, τὴν δύναμιν, τὴν ἐντολήν, τὴν παρρησίαν, τὴν ἐλπίδα, τὴν ἀγάπην, τὴν ἐλευθερίαν, τὴν εἰς σὲ καταφυγήν. σὺ γὰρ εἶ μόνος κύριε ἡ ῥίζα τῆς ἀθανασίας καὶ ἡ πηγὴ τῆς ἀφθαρσίας καὶ ἡ ἕδρα τῶν αἰώνων, λεχθεὶς ταῦτα πάντα δι᾽ ἡμᾶς νῦν ὅπως καλοῦντές σε διὰ τούτων γνωρίζωμέν σου τὸ μέγεθος ἀθεώρητον ὑμῖν ἐπὶ τοῦ παρόντος ὑπάρχον, καθαροῖς δὲ θεωρητὸν μόνον ἐν τῷ μόνῳ σου ἀνθρώπῳ εἰκονιζόμενον.

110 (19) Καὶ κλάσας τὸν ἄρτον ἐπέδωκεν πᾶσιν ἡμῖν, ἑκάστῳ τῶν ἀδελφῶν ἐπευχόμενος ἄξιον ἔσεσθαι αὐτὸν τῆς τοῦ κυρίου χάριτος καὶ τῆς ἁγιωτάτης εὐχαριστίας. γευσάμενος δὲ καὶ αὐτὸς ὁμοίως καὶ εἰρηκὼς Κἀμοὶ μέρος ἔστω μεθ᾽ ὑμῶν, καὶ Εἰρήνη μεθ᾽ ὑμῶν ἀγαπητοί,

111 (20) μετὰ ταῦτα ἔφη τῷ Βήρῳ· Παραλαβών τινας σὺν σοὶ ἄνδρας δύο ἔχοντας κοφίνους καὶ σκα φεῖα ἀκολούθησόν μοι. Ὁ δὲ Βῆρος μὴ μελλήσας διεπράξατο ἐκελεύσθη ὑπὸ τοῦ δούλου τοῦ θεοῦ Ἰωάννου. προελὼν οὖν ὁ μακάριος Ἰωάννης τῆς οἰκίας ἐβάδιζε πρὸ τῶν πυλῶν εἰρηκὼς τοῖς πλείοσιν ἀποστῦναι ἀπ᾽ αὐτοῦ· καὶ γενόμενος εἴς τι μνημεῖον ἀδελφοῦ ὑμῶν ἔφη τοῖς νεανίσκοις· Σκάψατε τέκνα. Κἀκεῖνοι ἔσκαπτον. ὃ δὲ μᾶλλον ἐπέκειτο αὐτοῖς λέγων· Βαθύτερον ἔστω τὶ σκάμμα. Κἀκείνων σκαπτόντων ὠμίλει αὐτοῖς τὸν λόγον τοῦ θεοῦ καὶ προετρέπετο τοὺς σὺν αὐτῷ ἀπὸ τῆς οἰκίας ἐξεληλυθότας, οἰκοδομῶν καὶ καταρτίζων αὐτοὺς ἐπὶ τὸ τοῦ θεοῦ μέγεθος καὶ ἐπευχόμενος ἑκάστῳ ἡμῶν. ὡς δὲ ἐτέλεσαν τὸ σκάμμα οἱ νεανίσκοι καθὼς ἠβουλήθη, ἡμῶν μηθὲν εἰδότων ἀποδύεται τὰ ἱμάτια αὐτοῦ ἃ ἠμφίεστο καὶ ἐπιβάλλει αὐτὰ ὥσπερ τινὰ στρωμνὴν ἐν τῷ βάθει τοῦ σκάμματος καὶ ἐν μόνῳ τῷ δικροσσίῳ στὰς ἀνατείνας τὰς χεῖρας ηὔξατο οὕτως·

112 (21) Ὁ ἐκλεζάμενος ἡμᾶς εἰς ἀποστολὴν ἐθνῶν· ὁ πέμψας ἡμᾶς εἰς τὴν οἰκουμένην θεός· ὁ δείξας ἑαυτὸν διὰ τοῦ νόμου καὶ τῶν προφητῶν· ὁ μὴ ἠρεμήσας πώποτε ἀλλὰ ἀεὶ σῴζων ἀπὸ καταβολῆς κόσμου τοὺς δυναμένους σωθῆναι· ὁ διὰ πάσης φύσεως ἑαυτὸν γνωρίσας· ὁ καὶ μέχρι ζῴων ἑαυτὸν κηρύξας· ὁ τὴν ἔρημον καὶ ἀγριωθεῖσαν ψυχὴν ἥμερον καὶ ἡσύχιον ποιήσας· ὁ διψώσῃ αὐτῇ τοὺς σοὺς λόγους ἑαυτὸν δούς· ὁ νεκρουμένῃ αὐτῇ ἐν τάχει ὀφθείς· ὁ βυθιζομένῃ αὐτῇ εἰς ἀνομίαν νόμος φανείς· ὁ νενικημένῃ αὐτῇ ὑπὸ τοῦ Σατανᾶ ἐμφανισθείς· ὁ νικήσας τὸν ἀντίδικον αὐτῆς ἐπὶ σὲ καταφυγούσης· ὁ δοὺς αὐτῇ τὴν σὴν χεῖρα καὶ ἀνεγείρας τῶν ἐν ᾅδου πραγμάτων· ὁ νὴ ἐάσας αὐτὴν ἐν σώματι πολιτεύεσθαι· ὁ δείξας αὐτῇ τὸν ἴδιον ἐχθρόν· ὁ τὴν ἐπὶ σὲ γνῶσιν καθαρὰν πεποιημένος θεὲ Ἰησοῦ· ὁ τῶν ὑπερουρανίων πατήρ· ὁ τῶν ἐπουρανίων δεσπότης· ὁ τῶν αἰθερίων νόμος καὶ τῶν ἀερίων δρόμος· ὁ τῶν ἐπιγείων φύλαξ καὶ τῶν ὑπογείων φόβος καὶ τῶν ἰδίων χάρις· δέξαι καὶ τοῦ σοῦ Ἰωάννου τὴν ψθχὴν τάχα ἡξιωμένην ὑπὸ σοῦ.

Sections 113 to 115

113 ὁ κἀμὲ φυλάξας μέχρι τῆς ἄρτι ὥρας καθαρὸν ἑαυτῷ καὶ ἀμιγῆ μίξεαως γυνακός· ὁ θέλοντί μοι ἐν νεότητι γῆμαι ἐπιφανεὶς καὶ εἰρηκώς μοι· Χρῄζω σου Ἰωάννη· Ὁ καὶ ἀσθένειάν μοι σω ματικὴν προοικονομήσας· ὁ τρίτον μου βουληθέντος γῆμαι παραυτίκα ἐμποδίσας μοι, ἔπειτα δὲ ἡμέρας ὥρᾳ τρίτῃ ἐν θαλάσσῃ εἰρηκώς μοι· Ἰωνάννη, εἰ μὴ ἦς ἐμός, εἴασα ἄν σε γῆμαι· Ὁ πηρώσας με δύο ἔτη, πενθεῖν καὶ δέεσθαί σου παρασχύμενος· ὁ τῷ τρίτῳ ἔτει ἐπανοίξας μοι τοῦ νοὸς τὰς ὄψεις καὶ τοὺς φαινομένους ὀφθαλμοὺς χαρισάμενός μοι· ὁ διαβλέψαντός μου καὶ τὸ ἀτενίσαι γυναικὶ ἐπαχθές μοι διαγράψας· ὁ τῆς προσκαίρου φαντασίας ῥυσάμενός με καὶ εἰς τὴν ἀεὶ μένουσαν ὁδηγήσας με· ὁ τῆς ἐν σαρκὶ ῥυπαρᾶς μαίας χαρίσας με· ὁ τοῦ πικροῦ θανάτου στερήσας με, ἐπὶ δὲ σὲ καταστήσας με μόνον· ὁ τὴν ἀπό κρυφον νόσον τῆς ψυχῆς μου φιμώσας καὶ τὴν φανερὰν πρᾶξιν ἐκκόψας· ὁ θλίψας καὶ ἐξορίσας τὸν ἐν ἐμοὶ στασιάζοντα· ὁ ἄσπιλόν μου τὴν πρὸς σὲ φλίον καταστήσας· ὁ ἄθραυστόν μου τὴν πρὸς σὲ πορείαν καταρτίσας· ὁ ἀνενδοίαστόν μου τὴν εἰς σὲ πίστιν δούς· ὁ καθαράν μου τὴν εἰς σὲ γνώμην ὑπογράψας· ὁ τῶν ἔργων ἑκάστῳ τὸν ἐπάξιον ἀποδιδοὺς μισθόν· ὁ ἐγκαταθέμενός μου τῇ ψυχῇ μηδὲν ἔχειν κτῆμα ἢ σὲ μόνον· τί γὰρ σοῦ τιμιώτερον; νῦν οὖν κύριε ὅτε ἦν ἐπιστεύθην οἰκονομίαν παρὰ σοῦ ἐτέλεσα, καταξίωσόν με τῆς σῆς ἀναπαύσεως τὸ ἐν σοὶ τέλος χαριζόμενός μοι, ὅπερ ἐστὶν ἄρρητος καὶ ἄφθεγκτος σωτηρία.

114 καὶ ἐρχομένον μου πρός σε ὑποχωρησάτω πῦρ, νικηθήτω σκότος· ἀτονησάτω χάος· μαρανθήτω κάμινος· σβεσθήτω γέεννα· ἀκολουθησάτωσαν ἄγγελοι, φοβηθήτωσαν δαίμονες· θραυσθήτωσαν ἄρχοντες, δυνάμεις πεσέτωσαν· δεξιοὶ τόποι στηκέτωσαν; ἀριστεροὶ μὴ μενέτωσαν· ὁ διάβολος φιμωθήτω, ὁ Σατανᾶς καταγελασθήτω· ὁ θυμὸς αὐτοῦ ἐκκαυθήτω· ἡ μανία αὐτοῦ ἠρεμησάτω· ἡ τιμωρία αὐτοῦ ἀσχημονείτω· ἡ ὁρμὴ αὐτοῦ ὀδυνάσθω· τὰ τέκνα αὐτοῦ παταχθήτω καὶ ὅλη ἡ ῥίζα αὐτοῦ ἀπορρηθήτω. καὶ δός μοι τὴν πρὸς σὲ ὁδὸν ἀνύβριστον καὶ ἀνεπηρέαστον διανύσαι, ἀπολαμβάνοντα ἅπερ ὑπέσχου τοῖς καθαρῶς βιοῦσιν καὶ σὲ μόνον ἀγαπήσασιν.

115 (22) Καὶ σφραγισάμενος ἑαυτὸν ὅλον ἑστὼς καὶ εἰρηκὼς Σὺ μετ᾽ ἐμοῦ κύριε Ἰησοῦ Χριστέ, κατεκλίθη ἐν τῷ σκάμματι ἔνθα τὰ ἱμάτια αὐτοῦ ὑπέστρωσεν· καὶ εἰπὼν ἡμῖν Εἰρήνη μεθ᾽ ὑμῶν ἀδελφοί, παρέδωκε τὸ πνεῦμα χαίρων.

Source. Greek text from the First Thousand Years of Greek project of the Open Greek and Latin project (digital edition of *Acta apostolorum apocrypha* edited by Maximilianus Bonnet (Leipzig, Mendelssohn: 1898)), encoded in EpiDoc TEI XML. Digitised and corrected by the Open Greek and Latin team (University of Leipzig and partners); the text is taken from the printed edition by OCR with correction, so some errors may remain. SermonIndex has only divided it into short sections for reading; the critical notes, margin notes and apparatus of the printed edition are not shown here but are kept in the XML download.

Licence. Creative Commons Attribution-ShareAlike 4.0 International (CC BY-SA 4.0). You may share and adapt this text if you credit the Open Greek and Latin project and release your version under the same licence.